JO. AMOS COMENII JANUA LINGUARUM AUREA RESERATA IN...

Johann Amos Comenius, Theodorus Simonius, ...

Digitized by Google

45 G 123
Tres. P x 7
Národní knihovna ČR
45 G 123
Národní knihovna
1002292833
Digitized by Google

JO. AMOS COMENII
NUA LINGUARUM
AUREA RESERATA

IN

NGUAM GRAECAM

A

THEODORO SIMONIO

HOLSATO CONVERSA

RECENSUIT

ATQUE

DICEM VOCABULORUM

GRAECOLATINUM ADJECIT

VICUS HENRICUS TEUCHERUS

URISPRUD. CANDIDAT. IN ACAD. LIPS.

LIPSIAE

MTIBUS ENGELH. BENJ. SVIKERTI

CIƆIƆCCLXXXIX.

Digitized by Google

45 g 123.

UNIVERSITNÍ KNIHOVNA V PRAZE

Digitized by Google

EDITOR LECTORIBUS SALUTEM.

Quum ſint fortaſſe nonnulli e lectoribus noſtris, qui ſcire aveant, quisnam fuerit Theodorus ille Simonius, Januae Comenianae interpres, haud abs re putavimus, illorum deſiderio quantum poſſemus ſatisfacere. Natus fuit Berchſtedii in Holſatia, et vixit usque ad medium ſeculum a C. N. decimum ſeptimum. Primo Luneburgi in ſchola docuit; deinde eccleſiam Catholicam Romanam ſecutus, abiit Lovanium: et quum poſtea in heterodoxiae ſuſpicionem illapſus illinc diſceſſiſſet, ad diſciplinam Proteſtantium, a qua deſciverat, rediit: ſed aliquot annis poſt, aſſumto Philippi Coſmii nomine, factus eſt Socinianus, et Ciſſelini in Lithuania ſcholam rexit: a quo loco per ſententiam Lublinenſis judicii rurſum remotus eſt. Haec ſunt, quae de vita Theodori Simonii expromere potuimus. Quanta fuerit ejus peritia Graecarum litte-

Digitized by Google

rarum, ipſa haec interpretatio, aliquoties diverſis locis edita, teſtatur. Nos quidem in illa denuo edenda ita verſati ſumus, ut nihil omitteremus, quod ad uſum ejus meliorem et ampliorem efficiendum pertineret. Themata nominum et verborum contextui ſubjecimus, et indicem vocabulorum appoſuimus ita copioſum, ut ſi quis modo Graece declinare et conjugare ſciat, is hunc librum nullo aut levi negotio intelligere poſſit. Caeterum uti non dubitamus, Januam hanc, multarum rerum deſcriptiones, permulta Graeci ſermonis vocabula continentem, ad Graecos auctores cognoſcendos nonnihil profuturam eſſe tironibus: ita eo ſubſidio ut quam plurimi diligenter utantur, magnopere optamus. Lipſiae, menſe Aprili CIƆIƆCCLXXXVII.

Digitized by Google

THEODORUS SIMONIUS
AD LECTOREM
DE SUA GRAECA VERSIONE.

Benigne lector, Januam Latinae linguae a Comenio reſeratam, non ignotam tibi eſſe arbitror; tum quod ea multis jam abhinc annis excuſa, multorum oculos et judicia ſubierit, tum etiam, quod nonnullis magnae eruditionis viris prolixe fuerit probata. Ut autem in cibis fieri ſolet, quos, ſi ad palatum noſtrum faciunt, ſubinde apponere conſuevimus: ita et libello huic contigit, qui nunc denuo excuſus tibi redditur. De cibis porro dicam. Hos varie condire arte didicimus, genio ut non deſimus, nec ut opibus imputetur: quin et fercula duplicamus, ut et delicati, et copioſi eſſe videamur. Liber iſte, nullo ante decore commendabilis, ab indigentia aliorum pulchri nomen ſibi invenit; nunc illis, his, ceu glandibus, oppletis, ſecundis erat menſis opus, faſtidium ne obreperet. Plenius haec ediſſeram. Janua Comenii, ab ipſo Latina facta primo, ita in lucem prodiit: ubi ea placuit, denuo exiit, atque iterum. Ego vero, qui La-

Digitized by Google

tinae ſoli iſtam felicitatem inviderem, Graece reddidi, ne, ut dixi, faſtidium obreperet, aut Latina ſola quarto vulgaretur. Hoc quam factum ſit bene, ita ut non dico, ſic te, benigne lector, experiri velim. Sua cuique imminent vitia; meum hoc erat, quod calamum cohibere non poſſem. In aliam arenam deſcendere decreveram; ſed omnia veritus, pedem retuli, licet non indecore. Itaque huc regreſſus, tibi nunc moleſtias forſan faceſſo. Gratias a tironibus exſpecto, quorum emolumenta quaeſivi; a praeceptoribus veniam. Quodſi hanc negent, nil moror, quin jubeam, immo et flagitem, ut non ſolum haec corrigant, ſed et melius ſcribant. Victus me illis ſubmittam, etiam hoc rogans, memoriam hujus facti prorſus abolere velint. Vale, benigne lector, et his, ſi profutura exiſtimas, feliciter fruere. (Anno CIƆIƆCCXLIV.)

Digitized by Google

Ἡ ΤΩ͂Ν ΓΛΩΤΤΩ͂Ν ΘΥ΄ΡΑ ἈΝΕΩΓΜΕ΄ΝΗ [1]).

I. Εἴσοδος.

Χαῖρε, ὦ φίλε ἀναγνῶςα.

2. Πυθόμενος [2]), τί τὸ λόγιον (πεπαιδευμένον [3]) εἶναι, ταύτην τὴν ἀπόκρισιν λάβε [4]).

Τὰς τῶν ἁπάντων διαφορὰς εἰδέναι [5]), οἷόν τ' εἶναι ἕκαςον ὀνομαςὶ ἐκφράζειν.

3. Οὐδὲν δὲ παρὰ τοῦτο; (προσέτι τούτοις;) μηδὲν ἀτεχνῶς.

4. Ὁ γάρ τοι μαθὼν [6]) τὴν τῆς φύσεώς τε καὶ τῆς τέχνης ὀνοματοθεσίαν, ἁπάσης παιδείας κρηπῖδα καλῶς ὑπέθηκε [7]).

5. Τοῦτο δὲ τάχα που δυσχερές; (δύσκολον;)

6. Ναὶ, ἀκουσίως τούτῳ τῷ ἐπιτηδεύματι ἐπιχειροῦντι [8]), καί γέ τοι φανταςικῇ προλήψει ἑαυτὸν ἐκπλήσσοντι.

7. Τέλος, ἅπαν ἐν ἀρχῇ δυσμεταχείριςον.

8. Ἆρα μὴ (οὐχὶ) οἱ τῶν γραμμάτων χαρακτῆρες τοῖς παιδαρίοις τὸ πρῶτον αὐτοὺς θεωροῦσι [9]) θαυμάσια τέρατα φαίνονται;

9. Ὀλίγον δὲ περὶ τούτων σπουδάσασι [10]) παιδιά τις δοκεῖ.

10. Θαμὰ συμβαίνει ἀργαλέον τι κατὰ τὰ ἔξω σκοπούμενον [11]) φαίνεσθαι.

11. Τῇ δὲ εὐφυίᾳ τοῦ εἰς βύσσον σπουδῇ ἐξίςασθαι πειρωμένου [12]) οὐδὲν ἀνέφικτον ἔςαι.

12. Ὧν τις ἀντιποιεῖται [13]), τούτων οὐ σπανιάκις ἐπικρατὴς καθίςαται [14]).

13. Ἄγε οὖν, ὅσοι γε δή ἐςε, ἐλπίζειν ὑμᾶς κελεύω, ἀπελπίζειν δὲ ἀπαγορεύω.

14. Ἰδοὺ, βλέψον [15]), (θεῶ) [16]), ὦ παῖ, μικρὸν τοῦτο ἐγχειρίδιον.

1) Ἀνοίγω. 2) πυνθάνομαι. 3) παιδεύω. 4) λαμβάνω. 5) εἴδω. 6) μανθάνω. 7) ὑποτίθημι. 8) ἐπιχειρέω. 9) θεωρέω. 10) σπουδάζω. 11) σκοπέω. 12) πειρῶμαι. 13) ἀντιποιοῦμαι. 14) καθίςημι. 15) βλέπω. 16) θεῶμαι.

15. Ἐν τούτῳ ὑπισχνοῦμαι, (μηδεὶς προαιρέσεώς τε καὶ ἐπαγγελίας μοι βασκαινέτω) ἅπαντα τὸν κόσμον καὶ τὴν γλῶτταν Ἑλληνικὴν ὡς ἐν ἐπιτομῇ ἀποδείξειν [17]).

16. Πειρῶ [18]), ἐξέλιττε καὶ ἐκμάνθανε ὀλίγα ταῦτα σελίδια.

17. Τοῦτο ἀπεργασάμενος [19]), τήν σου ἀγχίνοιαν καὶ τὴν πρὸς ἅπαντα τὰ μαθήματα δεξιότητα ἐπιφωράσεις [20]).

II. Περὶ τῆς κτίσεως (κοσμοποιίας).

18. Θεὸς ἅπαντα ἐξ οὐδενὸς ἔκτισεν [21]).

19. Ἐν ἀρχῇ γὰρ τὴν ἄβυσσον ἀχανῆ, τουτέστι τὸ πᾶν τὸν οὐρανόν τε καὶ τὴν γῆν περιέχον ἐξεπέτασε [22]).

20. Καὶ ταύτην ζοφώδους ἀχλύος τε καὶ ἀμόρφου σκοτίας ἐπλήρωσεν [23]).

21. Ἐξ ἧς καθάπερ τινὸς ὕλης τὰς κτίσεις σωματικὰς διασχηματίζων ποικίλαις ἰδιότησι κατὰ τὸ τῆς ἔσω ἰδέας ὁμοίωμα διεκόσμησεν [24]).

22. Ἑκάστῳ κτίσματι ἰδιοσυγκρισίαν τινὰ ἐμφυτεύων, τοῦ τὸν τόπον ἴδιον, τρόπον, γένος τηρεῖν.

III. Περὶ τῶν στοιχείων.

23. Πρὸ πάντων τὴν οὐσίαν ἄτακτον, χάος λεγομένην, εἰς τέσσαρα εἴδη κατὰ τὴν πυκνότητά τε καὶ χαυνότητα διεχώρησε [25]).

24. Τὴν μὲν λεπτοτάτην μερίδα φωτεινὴν καὶ θερμὴν καταστήσας [26]), πῦρ τε καὶ φῶς ὠνόμασεν [27]).

25. Ἄλλην δὲ λεπτὴν καὶ ὑπόθερμον, καὶ διαφανῆ, ἀέρα ἔλεγε.

26. Τὸ τρίτον μέρος ῥευστὸν ψυχρόν τε, ὕδωρ γέγονεν [28]).

27. Ὑφ' ᾧ ὑπόστασίς τις κολλώδης, ἰλὺς, τέλμα, πηλὸς καὶ γῆ ἔμεινε [29]).

28. Καὶ ταῦτα τὰ στοιχειώδη καὶ ἄμικτα σώματά ἐστιν, ὧνπερ τὰ μικτὰ καὶ συντεθειμένα [30]) ἐξανίσταται [31]).

17) ἀποδείκνυμι. 18) πειρῶμαι. 19) ἀπεργάζομαι. 20) ἐπιφωράω. 21) κτίζω. 22) ἐκπετάννυω. 23) πληρόω. 24) διακοσμέω. 25) διαχωρέω. 26) καθίστημι. 27) ὀνομάζω. 28) γίνομαι. 29) μένω. 30) συντίθημι. 31) ἐξανίσταμαι.

29. Ἅπαντα γὰρ τὰ λοιπὰ ἐκ τούτων πέφυκεν [32]).

30. Ἐκ τούτων γεννᾶται [33]), τούτοις τρέφεται, εἰς ταῦτα φθειρόμενα ἀναλύεται.

IV. Περὶ τοῦ στερεώματος.

31. Τὰ ἄστρα καθάπερ λαμπάδες ἐν ἀέρι κρεμάμενα, καὶ ἀλήκτως τροχαζόμενα, ὡς καὶ τὸ σκότος φωτίζοντα, κινήσει εὐτάκτῳ τοὺς χρόνους καὶ τὰς τῶν ὡρῶν στροφὰς μετρεῖ.

32. Οἱ πλανῆται ἑπτά εἰσιν, ἡ σελήνη, ὁ ἥλιος, ὁ Ἑρμῆς, ἡ Ἀφροδίτη, ὁ Ἄρης, ὁ Ζεὺς, ὁ Κρόνος, ὧν ἕκαστος τὸ ἴδιον κέντρον περιτρέπων διατελεῖ.

33. Ἡ σελήνη αὔξησίν τε καὶ μείωσιν ἐπιδεχομένη, καὶ γῆν περιοδεύουσα, τῇ τριβῇ ἑαυτῆς μῆνας ποιεῖ, καὶ κατωτάτη τε καὶ ἐσχάτη ἐστίν.

34. Ὁ ἥλιος λαμπροτάτῳ φέγγει στίλβων ἀπ' ἀνατολῆς διὰ τὸν κύκλον μεσημβρικὸν πρὸς τὴν δύσιν θαυμαστῷ τάχει κυλινδούμενος [34]), τῇ στροφῇ ἡμέραν ὥραις εἰκοσιτέσσαρσι, τὸ ἔτος δώδεκα μησὶν [35]), ἑβδομάσι πεντηκονταδυεῖν, τριακοσίαις ἑξηκονταπέντε ἡμέραις, σὺν μιᾶς μέρει τετάρτῳ, περιγράφει.

35. Τῇ ἀνατολῇ αὐτοῦ ὄρθρος βαθὺς, καὶ ἡ ἠὼς, τῆς ἡμέρας ἐπιφωσκούσης τε καὶ ὑποφαινομένης, προηγεῖται [36]).

36. Τῇ δύσει αὐτοῦ ὁ λυγόφως, ὅταν πρὸς ἑσπέραν ἐστὶ, (συσκοτάζει,) ἕπεται.

37. Πρὸς τὴν ἀνωτάτην κορυφὴν ἀναβαίνων, ζένιθ λεγομένην, ᾗ κατωτάτη νάδιρ ἀντικειμένως ἔχει, ἢ ἀποκλίνων ἀπ' ἰσημερινοῦ κύκλου πρὸς τὸν τροπικὸν τοῦ καρκίνου ἔαρ, πρὸς δὲ τὸν τροπικὸν χειμερινὸν τοῦ αἰγοκέρωτος καταβαίνων, τὴν ὀπώραν καὶ τὴν ἰσημερίαν ποιεῖ.

38. Κατώτατος ἐν τροπαῖς χειμεριναῖς τοῦ χειμῶνος, ἀνώτατος ἐν θεριναῖς, τοῦ σειρίου φλογουμένου [37]) ἀρχὴν τοῦ θέρους ποιεῖ.

39. Ὁ Ἑρμῆς τὴν ὁδὸν αὐτοῦ τάχιον [38]) ἢ ἐκμήνῳ, καλὴ δὲ Ἀφροδίτη ἔτει καὶ ἡμίσει περαίνει.

40. Ταύτην φωσφόρον ἕωθεν, ἕσπερον ὀψὲ τῆς ἡμέρας καλοῦσιν [39]).

32) φύω. 33) γεννάω. 34) κυλινδέω. 35) μήν. 36) προηγοῦμαι. 37) φλογοῦμαι. 38) ταχέως. 39) καλέω.

41. Ὁ Ἄρης φλογώδης τὴν αὐτοῦ περίοδον σχεδὸν διετίᾳ, λαμπρὸς δὲ Ζεὺς ἔτεσι δώδεκα, ψυχρὸς Κρόνος τριάκοντα ἐκτελεῖ. Τούτοις τοῖς πλανήταις αἱ τῆς ἑβδομάδος ἡμέραι ὁμώνυμοί εἰσιν· ἡ ἡλιακὴ, (ἄλλως κυριακὴ,) ἡ σεληνιακὴ ἢ σελήνης, ἡ τοῦ Ἄρεως, τοῦ Ἑρμοῦ 40), τοῦ Διὸς 41) ἢ Ζηνὸς, τῆς Ἀφροδίτης, τοῦ Κρόνου.

42. Αἱ τῶν φωστήρων ἐκλείψεις δι' ἐπισκιασμοῦ τῶν ἐν μέσῳ σωμάτων καὶ ἀδιαφανῶν 42) συμβαίνουσιν.

43. Οἱ λοιποὶ ἀστέρες τῆς σφαίρας ὀγδόης ὁμαλῶς μὲν κινοῦνται 43), ἀνωμάλως δὲ αὐγάζουσιν.

Οὗτοι ἐν οὐρανῷ περιθέοντες χίλιοι εἰκοσιδύω ἀριθμοῦνται 44) ἐκτὸς τριῶν ἐν κόμῃ Βερενίκης. Τοῦ πρώτου μεγέθους εἰσὶ δεκαπέντε, δευτέρου μεγέθους πεντεκαιτεσσαράκοντα, τρίτου μεγέθους διακόσιοι καὶ ὀκτὼ, τετάρτου μεγέθους τετρακόσιοι ἑβδομηκοντατέσσαρες, πέμπτου μεγέθους διακόσιοι ἑπτακαίδεκα, ἕκτου τεσσαρακονταεννέα, νηφώδεις πέντε, ἀφώτιστοι ἐννέα.

Οὗτοι ἐν τῷ ζωδιακῷ ἢ ἐκτὸς αὐτοῦ κεῖνται.

1. Ἐν κριῷ τρισκαίδεκα, ἀμόρφωτοι πέντε.

2. Ἐν ταύρῳ τριακονταδύω, ἀμόρφωτοι ἕνδεκα, ἐν οἷς ὀφθαλμὸς τοῦ ταύρου πρώτου μεγέθους ὁρᾶται· ἐν οὐρᾷ τοῦ ταύρου τὰς πλειάδας, ἑπτὰ μὲν λεγομένας, ἓξ δὲ φαινομένας, ἐν δὲ τῇ κεφαλῇ τοῦ ταύρου τὰς ὑάδας τηρεῖ 45).

3. Ἐν διδύμοις ὀκτωκαίδεκα, ἀμόρφωτοι ἑπτά.

4. Ἐν καρκίνῳ ἐννέα, ἄμορφοι τέσσαρες.

5. Ἐν λέοντι εἰκοσιεπτὰ, ὅπου πρώτου μεγέθους ἡ καρδία καὶ ἡ οὐρὰ τοῦ λέοντός εἰσιν.

6. Ἐν παρθένῳ εἰκοσιέξ, ἄμορφοι ἕξ, ὅπου πρώτου μεγέθους ἡ στάχυς τῆς παρθένου.

7. Ἐν ζυγῷ ὀκτὼ, ἀμόρφωτοι ἐννέα.

8. Ἐν σκορπίῳ εἰκοσιεῖς, καὶ τρεῖς ἀμόρφωτοι.

9. Ἐν τοξότῃ τριακονταεῖς.

10. Ἐν αἰγοκέρωτι εἰκοσιοκτώ.

11. Ἐν ὑδροχόῳ τεσσαρακονταδύω, ἄμορφοι τρεῖς, ὅπου μία πρώτου μεγέθους ἐν στόματι ἰχθύος νοτίου.

12. Ἐν ἰχθύσι τριακοντατέσσαρες, ἄμορφοι τέσσαρες.

Ἐκτὸς ζωδιακοῦ ἢ βόρειοι ἢ νότιοί εἰσιν.

40) Ἑρμῆς. 41) Ζεύς. 42) ἀδιαφανής. 43) κινέω. 44) ἀριθμέω. 45) τηρέω.

Οἱ βόρειοι.

1. Ἐν ἄρκτῳ μείονι ἢ κυνοσουρᾷ ἑπτά.
2. Ἐν μείζονι ἢ ἑλίκῃ εἰκοσιεπτὰ, ἀμόρφωτοι ὀκτώ.
3. Ἐν δράκοντι τριακοντaεῖς.
4. Ἐν Κηφεῖ ἕνδεκα, ἄμορφοι τεσσαρακονταδύω.
5. Ἐν βοώτῃ ἢ ἀρκτοφύλακι εἰκοσιδύω, καὶ μία ἄμορφος, ὅπου πρώτου μεγέθους ἀρκτοῦρος.
6. Ἐν σεφάνῳ βορείῳ ὀκτώ.
7. Ἐν Ἡρακλεῖ εἰκοσιοκτὼ, ἄμορφος μία.
8. Ἐν λύρᾳ δέκα, ὅπου πρώτου μεγέθους ἡ χορδὴ τῆς λύρας.
9. Ἐν κύκνῳ ἑπτακαίδεκα, ἄμορφοι δύω.
10. Ἐν Κασσιόπῃ τρισκαίδεκα.
11. Ἐν Περσεῖ εἰκοσιοκτὼ, ἄμορφοι τρεῖς.
12. Ἐν ἡνιόχῳ δεκατέσσαρες, ὅπου πρώτου μεγέθους δόρξ.
13. Ἐν ὀφιούχῳ εἰκοσιτέσσαρες, ἄμορφοι πέντε.
14. Ἐν ὄφι ὀφιούχου ὀκτωκαίδεκα.
15. Ἐν τοξεύματι τρεῖς.
16. Ἐν ἀετῷ ἐννέα, καὶ ἄμορφοι ἓξ Ἀντίνοον ποιοῦντες.
17. Ἐν δελφῖνι δέκα.
18. Ἐν ἱππαρίῳ ἢ ἵππου προτομῇ τέσσαρες.
19. Ἐν Πηγάσῳ εἴκοσιν.
20. Ἐν Ἀνδρομέδῃ εἰκοσιτρεῖς.
21. Ἐν δελτωτῷ τέσσαρες.

Οἱ νότιοι.

1. Ἐν κήτει εἰκοσιδύω.
2. Ἐν Ὠρίωνι τριακονταοκτὼ, ὅπου πρώτου μεγέθους ὦμος δεξιὸς καὶ ποῦς ἀριστερὸς Ὠρίωνος.
3. Ἐν Ἐριδανῷ τριακοντατέσσαρες, ὅπου πρώτου μεγέθους Ἐριδανός.
4. Ἐν λαγῷ [46]) δώδεκα.
5. Ἐν κυνὶ [47]) μείζονι ὀκτωκαίδεκα, καὶ ἄμορφοι ἕνδεκα, ὅπου πρώτου μεγέθους σείριος.
6. Ἐν προκυνὶ δύω, ὅπου πρώτου μεγέθους κύων.
7. Ἐν Ἀργῷ [48]) τεσσαρακονταεῖς, ὅπου πρώτου μεγέθους κάνωπος.

46) λαγῶς. 47) κύων. 48) Ἀργώ.

UNIVERSITNÍ KNIHOVNA V PRAZE A VEŘEJNÁ

Digitized by Google

8. Ἐν ὕδρᾳ εἰκοσιπέντε, καὶ δύω ἀμόρφωτοι.
9. Ἐν κρατῆρι ἑπτά.
10. Ἐν κόρακι ἑπτά.
11. Ἐν κενταύρῳ Χείρωνι τριακονταεπτὰ, ὅπου πρώτου μεγέθους πους κενταύρου.
12. Ἐν θηρὶ τοῦ κενταύρου ἐννεακαίδεκα.
13. Ἐν βωμῷ δεκατέσσαρες, ἄμορφοι ἑπτά.
14. Ἐν οὐρανίσκῳ τρισκαίδεκα.
15. Ἐν ἰχθύϊ νοτίῳ ἕνδεκα, ἄμορφοι ἕξ.

Οἱ πόλοι δύω εἰσὶν, ὁ ἀρκτικός τε καὶ ἀνταρκτικός· ὁ ὁρίζων τὰ δύω ἡμισφαίρια, ὧν τὸ μὲν ἄνω, τὸ δὲ κάτω, διαιρεῖ.

V. Περὶ τοῦ πυρός.

44. Ἡ ἔμπρησις (ἐμπρησμὸς) ἐκ σμικροῦ σπινθῆρος, μηδενὸς σβεννύντος [49]) καὶ κωλύοντος, ἐξανίςαται.

45. Ἅπαν γὰρ πυρωθὲν [50]) πρῶτον τύφεται, ἔπειτα φλέγεται ἢ φλογοῦται [51]), τέλος πιμπράμενον [52]) τεφροῦται [53]).

46. Ξύλον καιόμενον δαλὸς, πυρὸς δὲ σβεσθέντος [54]) θυμάλωψ, οὗ μέρος ἄνθραξ, ὁ διάπυρος ἀνθρακὶς λέγεται.

47. Ὁ καπνὸς κατάπυρος φλόξ ἐςιν· ἐνισχόμενος καμίνῳ αἰθάλη ἢ ἀσβολὴ λέγεται, ἣν πλειςάκις, τοῦ μὴ πυροῦσθαι [55]), ἀποξεςέον [56]) ἐςί.

VI. Περὶ τῶν μετεώρων.

48. Αἱ ἀτμίδες ὑδατώδεις ἄνω ἀεὶ φέρονται.

49. Τούτων πυκνωθεισῶν [57]) νέφος, κάτω δὲ ἐνεχθεισῶν [58]) ὁμίχλη γίνεται.

50. Καὶ δι' αἰτίαν ταύτην ὕει, νίφει, χαλαζοβολεῖ.

51. Ὁ ὑετὸς ἠρέμα, ὄμβρος πυκνότερον ςαλάζει· λαῖλαψ ἢ τύφων καταιγιτώδης καὶ ῥαγδαῖός ἐςιν.

52. Οὗτος ἐν τῷ καταπίπτειν ἀποπηγνύμενος [59]) (πεπηγὼς [60]) χάλαζα, πυρούμενος [61]) δὲ σφόδρα ἐρυσίβη (καυθμὸς) λέγεται.

49) σβέννομι. 50) πυρόω. 51) φλογοῦμαι. 52) πίμπραμαι. 53) τεφρόω. 54) σβέννυμι. 55) πυρόω. 56) ἀποξέω. 57) πυκνόω. 58) ἐμφέρω. 59) ἀποπήγνυμαι. 60) πήγνυμαι. 61) πυρόω.

Digitized by Google

53. Πάχνη ἔρση (δρόσος) παγετώδης σταλαγμὸς ὕδατος παγεῖσα [62]), (στάγμα πηκτόν).

54. Χιὼν παχνωθεῖσα [63]) σταγόνων ἀφρωδῶν [64]) τοὺς ἀγροὺς στέγει, τὸν καρπὸν ὑπὸ κρύους τε καὶ παγετοῦ μὴ λυμαίνεσθαι.

55. Αὖρα πνέουσα καὶ ἡμᾶς θάλπουσα τὰ πεπαχνωμένα [65]) διαλύει· καταιγὶς ἢ λαῖλαψ, ὅποι ἂν πνέουσα τρέποιτο, ἅπαντα καταβάλλει, ἀνατρέπει καὶ ἐδαφίζει.

56. Οἱ ἄνεμοι κυριώτατοί εἰσιν· εὖρος, ἀπηλιώτης, νότος, ζέφυρος, βορέας· οἱ πλευρόθεν· εὐρονότος, λὶψ ἀπὸ χειμερινῆς, ἀργέστης ἀπὸ θερινῆς δύσεως πνέει, καικίας.

57. Στρόβιλος καὶ τυφὼς θαυμασίως δι' ἀνέμου συστροφὴν μεθ' ὑετοῦ κυκλάζεται.

58. Αἱ ἀποπνοαὶ θειώδεις φλογισθεῖσαι [66]) ἀστραπάς τε καὶ χάσματα ἀπεργάζονται.

59. Τότε γὰρ τὸ θερμὸν, πολέμιον ὂν φύσει τῷ ψυχρῷ, βροντάς τε καὶ κεραυνοὺς σὺν δούπῳ φοβερωτάτῳ ποιεῖ.

60. Φλὸξ ἐκ τῶν νεφῶν ἐξαναδυομένη καὶ ἐκραγεῖσα [67]) κεραυνὸς λέγεται.

61. Οὗτος δὲ ἢ καυστικὸς, ἢ διαφορητικὸς, ἢ θλαστικὸς ὢν, ἐν ἀκαρεῖ διασκορπίζει ἅπαντα, οἷς ἐμπίπτει.

62. Ὅταν ἀστράπτει, βροντᾷ [68]), τίς οὐκ ἐμβρόντητος (ἐμβεβροντημένος [69]) ὑπερορρωδεῖ;

63. Κομήτης οὐδεὶς πώποτε ἤστραψεν [70]), ὃ μὴ λοιμὸν ἢ λιμὸν τῇ γῇ κατήνεγκεν [71]).

64. Ἶρις καὶ ἅλως ἑωθινὴ ἀέρα συννεφῆ, (νεφελώδη,) ἑσπερινὴ δὲ αἰθρίαν προσημαίνει.

VII. Περὶ τῶν ὑδάτων.

65. Ἐκ ναμάτων αἱ πηγαὶ, ἐκ δὲ τῶν πηγῶν τὰ ῥεῖθρα βρύει (βλύζει).

66. Τούτων συρρεόντων ποταμοὶ καὶ συμβολαὶ γενόμεναι ἐντὸς τῶν ὀχθῶν [72]) ῥέουσι, πλὴν ὅταν τοῖς ἐκρηγμα-

62) πήγνυμαι. 63) παχνόω. 64) ἀφρώδης. 65) παχνόω. 66) φλογίζω. 67) ἐκρήγνυμι. 68) βροντάω. 69) ἐμβροντῶμαι. 70) ἀστράπτω. 71) καταφέρω. 72) ὄχθη.

σι καὶ ταῖς ἐπιδρομαῖς ναμάτων τὰ ἀναχώματα οὐκ ἀρκεῖ.

67. Τῇ προχύσει τῆς ῥεύσεως ἐμποδιζομένης, ὕδωρ στάσιμον (ὑδροστάσιον, τέναγος) διαχεόμενον συνίσταται [73]).

68. Τὰ ἕλη τόποι πολυπίδακες, καὶ πηγῶν οὐ ῥευσαὶ ἀναβλύσεις.

69. Χείμαῤῥοι ὕδωρ ὄμβριόν τε καὶ χαραδραῖον, ὅθενπερ ἐπικλύσεις (κατακλυσμοὶ) γίνονται.

70. Ὕδωρ ῥέον ῥεῦμα, εἰς ἑαυτὸ στρεφόμενόν τε καὶ δινούμενον [74]) δίνην, ἑαυτὸ ἀναῤῥοφοῦν [75]) ἄβυθον (βάραθρον) εἰπέ [76]).

71. Τῇ νήξει τοῦτο κινῶν [77]) θολοῖς [78])· ὕδωρ δὲ διαυγὲς ταράττειν τί ὄφελος;

72. Πομφόλυξ σταγόνος σταζέσης γίνεται.

73. Ἡ θάλασσα ἁλμυρὰ, ἅλμης δίκην.

74. Ὅπου τὴν γῆν διορίζει, κόλποι, ἀκρωτήρια καὶ ἰσθμοί εἰσιν.

75. Ἡ πλημμυρὶς, τουτέστιν ἡ παλίῤῥοια, ἐξ ὥραις τῇ ἔσω ἐπιτάσει τε καὶ ἀνέσει μάλιστα ἐντὸς τῶν πορθμῶν εὐρίπων καὶ σύρτεων ἐξανίσταται.

76. Ἐν τῇ βορείῳ χώρᾳ ὁ ὠκεανὸς παγερὸς (ὑπερβόρειος) ἐστιν.

VIII. Περὶ τῆς γῆς.

77. Ἡ τῆς γῆς περιφέρεια ποῖ μὲν ἔνικμός τε καὶ τελματώδης, ἀλλαχοῦ δὲ πετρώδης, ψαθυρὰ καὶ ἄνικμος (σπάνυδρός) ἐστιν.

78. Ἄλλη ποι ὁμαλὴ, ἑτέρωθι δὲ ὄρη, ἄγκη, συνάγκειαι, θρόμβοι, γήλοφοι, ἀποῤῥήγματα, φάραγγες φαίνονται.

79. Οἱ λόφοι (κολωνοὶ) τοῖς ἀναβαίνουσιν ἀνάντεις, τοῖς δὲ καταβαίνουσι κατάντεις εἰσί.

80. Σεισμὸς ὑπὸ τῶν πνευμάτων ὑπογείων ἔξω βιαίως ἐνεχθέντων [79]) γεγεννημένος [80]), χάσμα ἀπεργάζεται.

81. Βῶλος τετριμμένος [81]) κονιορτὸς, βεβρεγμένος [82]) δὲ ὕδατι, βόρβορος ἢ πηλὸς γλοιώδης ἐστί.

73) συνίστημι. 74) δινέω. 75) ἀναῤῥοφέω. 76) ἔπω. 77) κινέω. 78) θολέω. 79) φέρω. 80) γίνομαι. 81) τρίβω. 82) βρέχω.

Digitized by Google

IX. Περὶ τῶν λίθων.

82. Ὁ λίθος τριβεὶς [83]) ψαμμίον, παχύτερος δὲ ὤν, ψάμαθος (ψάμμος) ἐςί· τὰ ἐρείπια περιψήματα, (ἀποκόμματα) τῶν πετρῶν ἐςιν.

83. Αἱ πέτραι ἐπὶ τῆς γῆς, εἴτε προὔχουσαι, εἴτε λανθάνουσαι, κεῖνται· οἱ σκόπελοι, ῥαχίαι, τραχεῖς καὶ σπιλάδες ἀπρόσιτοι ἐξέχουσιν· ἀπορρὼξ προέχει.

84. Λίθαξ ἢ ψηφὶς τῷ ὑποδήματι ἐμπεσοῦσα [84]), οὐδ' ἐξαιρεθεῖσα, τοὺς ὁδεύοντας ἐνοχλεῖ.

85. Ἀκόνῃ τὰ ἀμβλέα [85]) θήγομεν· ἐκ χάλικος πῦρ ἐκκρούομεν· (ἐκθλίβομεν·) λίθῳ λυδίᾳ τὰ μέταλλα δοκιμάζομεν.

86. Πῶρος ψαμματώδης, τραχὺς, εὔθρυπτος (εὔτριβής) ἐςιν· ἡ κισσηρὶς σπογγώδης, ἐκβεβρωμένη [85]), ποτικὴ, πρὸς τὰ λουτρὰ καὶ τὰς τρίψεις οὐκ ἀνωφελής ἐςιν.

87. Ἀλαβαςρίτης μάρμαρος λευκότατός ἐςιν.

88. Ἡ μαγνῆτις καὶ γλῶττα τοῦ πυξιδίου ναυτικοῦ αὐτῇ προσριβεῖσα πρὸς τὴν ἄρκτον τρέπεται· ἔσθ' ὅπη δὲ ἀπὸ μεσημβρίας πρὸς δύσιν ἢ ἀνατολὴν ἀποκλίνει.

89. Τῶν τιμίων λίθων πολυτιμωτάτη πυρωπὸς, δεύτερον ἀδάμας, ἔπειτα θυΐτης, σάπφειρος, σμάραγδος, ἴασπις, χρυσόλιθος, ὀνύχιον, σαρδόνυξ· αὗται γωνιώδεις τε καὶ σπινθηροειδεῖς εἰσι· βεζοὰρ καὶ δάκρυ ἐλάφου τὰ ὀλέθρια, φθαρτικὰ καὶ λυγρὰ ἐπαρκεῖ.

90. Ὁ αἱματίτης, ἀλεκτόρειος, ἀετίτης, βατράχιος, σάρδιος, λάζυλος, ὡς λίθοι εὐτελέςεροι [87]) ἀπευωνίζονται.

91. Μαργαρῖται ἐν κόγχαις εὑρίσκονται, οἷς θρυπτικῶς διακείμεναι γυναῖκες [88]) τὴν κεφαλήν τε καὶ τὰ ὦτα [89]) διακοσμοῦσι [90]).

92. Τὰ κοράλλια κλαδίσκοι δενδρίου θαλασσίου ἐςίν.

93. Ἡ ὕαλος διαφανὴς κρυςάλλῳ ἐμφερεςάτη [91]) μὲν τὴν διαφάνειαν, μηδαμῶς δὲ τὴν σκληρότητα· τμητὴ σμύριδι.

X. Περὶ τῶν μετάλλων.

94. Τὰ μέταλλα ἐκ τῶν ὀρυγμάτων ἐξορύττεται· ἐξ

83) τρίβω. 84) ἐμπίπτω. 85) ἀμβλύς. 86) ἐκβρώσκω. 87) εὐτελής. 88) γυνή. 89) οὖς. 90) διακοσμέω. 91) ἐμφερής.

ὤν τηκομένων τε καὶ πάλιν συνισταμένων [92]) πολλαπλάσια τεχνήματα χύεται.

95. Ὁ χρυσὸς ἐντελέστατός [93]) ἐστιν, ἐπειδὴ τῶν ἄλλων μετάλλων ἀμιγής τε, καὶ ὑπερβριθέστατός [94]) ἐστι, μάλιστα ὄβρυζον.

96. Πεφθεὶς [95]) καὶ τηκτὸς ἐν τρυβλίῳ καὶ κλιβάνῳ ἑκατοντάκις, οὐδὲν τῆς οὐσίας ἀχράντου ἀποβάλλει.

97. Ὁ ἄργυρος καθαρὸς ὤν, τούτου τῇ ἀξίᾳ ἐγγυτάτω [96]), σκωρίαν ἔχει, ἧς πυρὶ ἐκκαυθείσης [97]) ἐλατὸς γίνεται.

98. Ὁ σίδηρος σκληρότατος μὲν, ὅμως δὲ ὑπὸ τοῦ ἰοῦ κατεσθίεται· καθαρισθεὶς [98]) δὲ καὶ σκληρωθεὶς [99]) ἐστινοποσάκις, χάλυψ λέγεται.

99. Τῷ χαλκῷ ἰὸς ἐνίσχεται, οὗ τὸ ἄνθος διὰ τὴν χλωρότητα βαφαῖς ὠφέλιμόν τε καὶ περιπόθητόν ἐστιν.

100. Ὁ ὀρείχαλκος τῇ καδμίᾳ διάβροχος, οὐ τυπίας, ἀλλὰ χυτός ἐστι διὰ τὴν ψαθυρότητα.

101. Τοῦ ἠλέκτρου ὁ κασσίτερος, καὶ τούτου ὁ μόλυβδος μαλακώτερός τε καὶ εὐτελέστερός [100]) ἐστι.

102. Τοῦ ὑδραργύρου οὐδὲν θαυμασιώτερον, ναροῦ μὲν ὄντος, ἀλλ᾽ οὐχ ὑγροῦ.

103. Οὐδὲν γὰρ ἐν αὐτῷ ἐγκεχεσμένῳ διυγραίνεται.

104. Ὁ ἅλς, στυπτηρία, χάλκανθον, νίτρον, θεῖον, ἄσφαλτος, νάφθα, βῶλος Ἀρμένιος, λεμνία, κιννάβαρι, ἀρσενικὸν, στίμμι, ὤχρα, χρυσοκόλλα, κιμωλία, μολύβδαινα, σινωπὶς, μίλτος τεκτονικὴ, χυμοὶ ὀρυκτοί εἰσι· ψιμμύθιον, σάνδυξ, ποιητά· χρυσοκόλλα χρυσουργῶν τε καὶ χρυσοχόων κόλλα.

XI. Περὶ τῶν δένδρων καὶ καρπῶν.

105. Τὸ φυτὸν, διὰ τῶν ἰνῶν [1]) τὴν ἰκμάδα προσέλκον, τρέφεται, ἀκμάζει, φυλλιᾷ [2]), ἀνθεῖ.

106. Ταύτης δὲ στερηθὲν [3]) ἐγκάμνει, μαραίνεται, σήπεται, ξηραίνεται αὐτόθι.

107. Τὸ ἄκρον αὐτοῦ κορυφή ἐστι· στέμμα ῥιζοφυὲς, καθόσον εὐθαλὲς κλάδων πετάλων τε ἐστὶ, λέγεται.

108. Τούτων ἀποκοπέντων [4]) στέλεχος (κορμὸς) ὀνομά-

92) συνίστημι. 93) ἐντελής. 94) ὑπερβριθής. 95) πέπτω. 96) ἐγγύς. 97) ἐκκαίω. 98) καθαρίζω. 99) σκληρόω. 100) εὐτελής. 1) ἴν. 2) φυλλιάω. 3) στερέω. 4) ἀποκόπτω.

ζεται· κλάδος μετὰ καρπȣ̃ ἀποσπασθεὶς 5) σπάδιξ, ὄζος ἀποβληθεὶς 6) τε καὶ ἀπετμηθεὶς 7) τȣ̃ δένδρȣ κλαδίσκος λέγεται.

109. Ἔξω φλοιὸς, ἔντοθε λέπος ἐςὶν, ὃ χλωραινόμενον οἷόν τ' ἐςι λεπίζεσθαι· ἐν μέσῳ δὲ μυελὸς λανθάνει.

110. Τὰ δένδρα φυλλοῤῥεῖ, καὶ αὖθις φυλλοβολεῖ, πλὴν τὰ κομμιδώδη, ἃ συνεχῶς ἀνθεῖ, οἷον πύξος, σμίλαξ.

111. Μηλέα, ὄχνη, (ἄπινος,) κερασȣ̃ς, κοκκυμηλέα, ἐλαία, ἥμερα δένδρα· μελία, φηγὸς, κλήθρα, μελία ταπεινὴ, ἄγρια.

112. Ἐκεῖνα καρποφόρα, ταῦτα δὲ ὡς τὸ πολὺ ἄκαρπα, οἷον σημύδα, λεύκη, αἴγειρος.

113. Δένδρα τινὰ φυλλομανȣ̃ντα 8) τὰ ἄλση, ἐν οἷς φύεται, ἐπισκιάζει, οἷα δὴ φιλύρα, πλάτανος, πτελέα, καὶ τὰ λοιπὰ πλατύφυλλα.

114. Ἰτέα λύγον, ȣ̃ πλέγμασι σπυρίδες (σπιρίχνια) ἢ ταῤῥοὶ συμπλέκονται, παρέχει.

115. Ἐλάτη, πεύκη, πίτυς, κυπάρισσος, κεδρελάτη, δένδρα προμήκη.

116. Φοῖνιξ ἐπικαμφθεὶς 9) ἑαυτὸν εἰς ὕψος ἰσχυρότερον ἐγείρει τε καὶ ἀνίςησιν.

117. Ὁ ὀφθαλμὸς χαίνων ἄωτον, ἐν ᾧ κρόκη, φύει· συκῆ ἐρινόν· ὁ ἄωτος καρποτοκεῖ· καρπὸς δὲ πέπειρος ἢ δρέπεται, ἢ ἀποσείεται, ἢ ἐπίσαπρος αὐτομάτως εἰς γῆν πίπτει.

118. Τῶν καρπῶν ἄλλοι πρόωροι, ἄλλοι ὄψιμοι, ἄλλοι μόνιμοι, οἷον ἀρκευθίς· φάγονται δὲ ἢ νέοι ἢ παρετοὶ καὶ χαλαροί· ἐν ὀπωροθήκῃ τηρȣ̃νται 10).

119. Τὰ κεράσια ἐπὶ μακρῶν μίσχων, τὰ ἀπρώνιανὰ βραχυτέρων 11) κρέμαται.

120. Τὰ μέσπιλα χνοώδη, τὰ ἄπια ὀπώδη, τὰ κοκκύμηλα, βράβυλα, Ἀρμενιακὰ, Περσικὰ, κηρινὰ, νάνα, ἄγρια καὶ ὀσώδη.

121. Τὸ κέλυφος ἀφαιρείτω 12), καὶ τὸ κάρυον θραυέτω μὴ διάκενον ὁ τȣ̃ πυρῆνος ἐφιέμενος 13), εἴτε λεπτοκάρυον, εἴτε κάρυον βασιλικὸν, (ὃ κόρυλος φέρει), εἴτε τρίβολος, εἴτε ἀμυγδαλῆ ἐςι.

5) ἀποσπάω. 6) ἀποβάλλω. 7) ἀποτέμνω. 8) φυλλομανέω. 9) ἐπικάμπτω. 10) τηρέω. 11) βραχὺς. 12) ἀφαιρέω. 13) ἐφίημι.

Digitized by Google

122. Φελλόδρυς, πρῖνος, βαλάνους, δρῦς κηκίδας, κάστανα βαλάνους πώγωνι λοπίσματος κεκαλυμμένας [14]), πεύκη στροβίλους, κρανεία κράνεια, δάφνη, σφένδαμνος, ὅσα ἀκρόδρυα φύει.

123. Ὄα, κυδώνια, μηδικὰ, κίτρια, λιμόνια, ῥοιαὶ σφίγγουσιν· (ἀποκλείουσι·) σῦκον, κόμαρα, μόρον, συκάμινον, βάτινον, χαλαστικά· λωτὸς γεγευμένη [15]) λήθην ἐμποιεῖ.

124. Λιβανωτὸν, σμύρνα, μαστίχη, κάμφορα, σαρκοκόλλα, πιτυΐνη, τερεβίνθινα, πίσσα, κόμμι, δένδρων τινῶν ὀπώδη δάκρυα, ὡς καὶ τὸ ἤλεκτρον, φασί [16]).

XII. Περὶ ποῶν ἡμέρων τε καὶ ἀγρίων.

125. Βοτάνη αὐξομένη θύρσῳ ἢ καυλῷ ἐρείδεται.

126. Γογγύλη ἥμερος, βουνίας, σίσαρον, ῥάφανος, κάρος, κράμβη, θριδακίνη, ἀσπάραγος, σκόλυμος, σέλινον, κάρδαμον, σέρις, σπινάκια, βολβὸς, ἀνδράχνη, ἀτράφαξις, λάχανα καλοῦνται.

127. Σπόρος καλάμῳ στηριζόμενος, ἀνθέρικας καὶ στάχυας ἢ κολοβοὺς, ἢ ἀθερώδεις ἔχει· ἐλύτρῳ δὲ κόκκον συνέχει καὶ ἀθέρι [17]) περιφράσσει, οἷον ὄρυζα, ζέα, κέγχρος, ἔλυμος, ἐρύσιμον.

128. Ὄσπριον ἐντὸς θηκῶν καὶ λοβῶν τηρεῖται [18]), οἷον κύαμος, πίσον, ὄροβος, ἐρέβινθος, βίκιον, φακὴ, φασίολος.

129. Διὰ τί δὲ ἐκ πυροῦ ὄλυρά τε καὶ ζιζάνια, ἐκ κριθῶν αἰγίλωψ, ἐξ ἀκροσπέλου σιφώνιον ἀπέβη [19]);

130. Χλόη βοσκημάτων χάριν σπείρεται.

131. Κεφαλωτὰ ἐστὶ τάδε· σκόροδον, κρόμμυον, κολχικὸν, πράσον, σκίλλα, ὑάκινθος, μάρταγον.

132. Ἀρώματα δ' ἐστὶ πίπερι, ζιγγίβερι, ζάδουρα, κιννάμωμον, κάρυον μυριστικὸν, μάκερ, καρυόφυλλον, κάλαμος μυρεψικὸς, ἄνισον, ἄνηθον, κορίανδρον, κύμινον, σίνηπι.

133. Ἄνθη εὔοσμα, (εὐοσμοῦντα,) ἐξ ὧν ἑλικτοὶ στέφανοι, ἀμμάτια, στεφανώματα πλέκεται, ταῦτά ἐστιν· ἀμάραντος, καρυόφυλλος, λυχνὶς, θρυαλλὶς, λιβανω-

14) καλύπτω. 15) γεύω. 16) φημί. 17) ἀθήρ. 18) τηρέω. 19) ἀποβαίνω.

Digitized by Google

τὶς σεφανωματικὴ, τυλίπη, λείριον, ἴον πορφυρᾶν, φλόγιον, λευκόϊον, φλόμος χρυσοειδὴς, ῥόδον.

134. Ἐν πόαις ἀναγράφονται μόσχος, πολύγονον, τρίφυλλον, ἀρνόγλωσσος, σρατιώτης, χιλιόφυλλος, μαλακόκισσος, ἐρείκη, ὀξυμυρσίνη, πολυγόνατον, σόγχος· πόαι ὑδατώδεις φύκος θαλάττιον, κάλθη, φακὸς τελματώδης.

135. Ἀκόνιτον, κώνιον, βανίας, θανάσιμοι πόαι, ἃς δεῖ ὁλορρίζεὶ ἐκριζᾶν [20]).

136. Κωδεία τρωθεῖσα [21]) ὄπιον ὑπνωτικόν τε καὶ ναρκωτικὸν ἐκβλύζει.

137. Αἱ πόαι θεραπευτικαὶ ἥμεραί τε καὶ ἄγριαι.

Κεφαλικαί.

Θερμαί τε καὶ ξυραί· βεττονικὴ, παιωνία, ἀμάρακον, ἐλελίσφακος, λιβανωτὶς, νάρδος, ὀρίγανον, ἀρθριτικὴ, σπλήνιον, σοῖχας, ἄνθη φιλύρας, ἕρπυλλον.

Ψυχραί τε καὶ ὑγραί· νυμφαία, ἀείζωον, μανδραγόρας.

Ὀφθαλμικαί.

Μάραθρον, εὐφρασία, χελιδονία.

Θωρακικαὶ, ἀνακαθάρτικαὶ, βηχικαί.

Θερμαί· ψώρα, βρύος, φελλάνδριον, ὕσσωπος, ἀδίαντον, βήχιον, γλήχων ἄγριος, γλυκυῤῥίζα, ἑλένιον, ξυρὶς, λάσαρον Γαλατικὸν, πετασίτης.

Ψυχραί· μαλάχη, μήκων λευκὸς, ψύλλιον, ζίζυφος, κριθή.

Καρδιακαί.

Τῶν θερμῶν ἄνθη τρία καρδιακὰ, χαμαιμήλα, μελιλώτα, ἀνήθα· ὄκυμον, καρυόφυλλον κηπαῖον, ἄνθη κάλθης, σκόρδιον, ἡμιόνιον.

Τῶν δὲ ψυχρῶν τάδε· ἴων, ῥόδων, βαγλώσσης, εὐφροσύνα, ἑπτανευρα.

Στομαχικαί. (πεπτικαί).

Θερμαί· ἀψίνθιον, κύπειρος Βαβυλώνιος, ἀρωματικὸς κάλαμος, ζιγγίβερι, ζεδοὰρ, πιπερῖτις, καρυαβάδιον, ἄνισον, κύμινον, νάρδος.

Ψυχραί· ὄξαλις, ὄξαλις μικρὰ, βέρβερις, σόγχος.

Ἡπατικαί.

Θερμαί· σέλινον, ἀργεμώνη, κασσύτας, ἡπατικὴ, ἀγέρατον.

20) ἐκριζόω. 21) τιτρώσκω.

Σπληνικαί.

Θερμαί· ἄσπληνον, σκολοπένδρον, καπνίον, κενταύριον, χάμαιδρυς, χαμαίπιτυς, ἀρισολοχία, μυρίκη.

Τῇ ςομακάκῃ ἐναντίαι.

Καρδαμίνη, τελέφιον, ἀναγαλλὶς ἔνυδρος.

Νεφριτικαὶ καὶ κυςικαί.

Θερμαί· ἀδίκντον, ὄνωνις, παρωνυχία, φιλλυρέα, μάραθρον, ἐρύγγιον, σέλινον, κέγχρις, εὔζωμον, μυρτάκανθα, οἰνάνθη.

Ψυχρά· ἐλξίνη.

Ὑςερικαί.

Θερμαί· ἀρτεμισία, λεπτόφυλλος, γληχὼν, ὑςερικὴ, θύμβρα, φᾶ, σμύρνιον, πάνακες, μελισσόφυλλον.

Ψυχρά· σέλις. Ταύταις ἄλλας ἐκ τῶν βοτανικῶν προσίθει.

Ἐπισπαςικαί.

Βατράχιον, ἀνεμώνη, κυκλάμινος, δρακόντιον, νάρκισσος, ἐλλέβορος.

Ἀποκρȣςικαί.

Τρίβολος ἔνυδρος, πολύγονον, μυὸς ὠτὶς, πεντάφυλλον.

Στεγνωτικαί.

Στρατιώτης, ἀργεμώνη ἑτέρα, ςέργηθρον, πολύγονον.

Χαλαςικαί.

Ἀτράφαξις, ἴον, κενταύριον μικρόν.

Διαφορητικαί.

Παρθένιον, ὀξυάκανθος.

Ἀνώδυνοι.

Φλόμος, φλομίς.

Ὑπνωτικαί.

Ὑοσκύαμος, σπέρμα μήκωνος, θρίδακος.

Τραυματικαί.

Μυὸς ὠτὶς, περιςερεὼν, κηλικὴ, σανίκȣλα, σύμφυτον.

Σπερματογόνοι.

Σατύριον, ςρόβιλος.

Δηκτήριαι.

Βερμικȣλάρις.

Σκληρυντικαί.

Φυκὸς τελματώδης, δρακόντιον.

Digitized by Google

Μαλακτικαί.

Ἠριγέρων, ἀναγαλλίς.

Ἀραιωτικαί.

Τῆλις, βούκερας, λινόζωστις.

Παχυντικαί.

Ἀμάραντος, λαγώπους, λάπαθον, κυνόγλωσσος, Ξύ-ψακος, σεληνίτις.

Κυστικαί.

Ὑδροπίπερι.

Διουρητικαί.

Ἁλικάκαβος, ἄκανθος, κάρος.

Μηναγωγοί.

Καλαμίνθη, τεύκριον, ἀρθριτική.

Ἐκβόλιοι.

Θλάσπι, βράθυ.

Λιθοτριβικαί.

Ξάνθιον, ὄνωνις.

Πταρμικαί.

Μελάνθοον, πταρμική.

Ῥευματαγωγοί.

Σταφυσάγρια, πύρεθρον, μαστίχη.

Ἔῤῥινοι.

Τεῦτλον, (οἷον τοῦ τεύτλου ὀπὸς,) νικοτιανή.

Φθαρτικαὶ τῶν ἑλμινθίων.

Ἡδύοσμος ἄγριος, βλῆχρον, πτέρις, χαμαίλεον, ὑδροπίπερι.

Ἀλεξιφάρμακοι.

Κορωνόπους, ἀναγαλλὶς, νέριον, χελιδονία, εὐπατόριον.

Ἀνώδυνοι.

Μανδραγόρας, ὄπιον.

Μαγνητικαί.

Ὑπέρικον, βλῆχρον, πτέρις, προσώπιον, ἄρκειον.

Ἐμετικαί.

Ἄσαρον, ῥάφανος, (οἷον σπέρμα ῥαφάνου,) γενίστης.

Χολαγωγοί.

Μάννα, μυρσβάλανος, ἀλόη, ψύλλιον, ῥαβάρβαρον, ἀνδρόσαιμον, σκαμμώνιον, ἄσαρον, πέπλιον.

Φλεγμαγωγοί.

Ἀγάρικον, μεχαοκάννα, καλάππα, κνῆκος, κολοκυν-

θὶς, ἑρμοδάκτυλος, εὐφόρβιον, ὀποπάναξ, σαγάπηνον, σαρκοκόλλα.

Μελαναγωγοί.

Πολυπόδιον, ἐπίθυμον, ἐλλέβορος.

Ὑδραγωγοί.

Χαμαιάκτη, ἀκτὴ, τιθύμαλλος, ἐλατήριον, μεζερεῖον, γρατιόλα, θυμελαία.

Διαφορητικαί.

Ἀτρακτυλὶς λασία, καὶ τέσσαρες ἐξωτικαί· χίνα, σασσαπαρίλλα, σάσσαφρας, γυαϊακόν.

XIII. Περὶ τῶν θάμνων.

138. Ἀκτὴ, ῥίβες, βάτος, βάτος Ἰδαῖος, κισσὸς, φιλλυρέα, γλυκύῤῥιζα, βάλσαμον, παλίουρος, ἄκανθα, κυνόσβατος, ἀκανθὼν, θάμνοι, γῆ θαμνώδης θαμνὼν λέγεται.

139. Κάλαμοι φάλαγγας ἔχοντες, καὶ σχοῖνος τὰ ἕλη φιλοῦντες [22]), ἐν τέλμασιν εὐθαλοῦσι.

140. Σχοίνου ἀνόζου καὶ ἀποκοπείσης [23]), ὅθεν τύφαι ἐκφύονται, ϛορέαι παρασκευάζονται.

141. Βωλῖται, βολβοὶ, μυκήτων βέλτιϛοί τε καὶ ἐνίων δαψίλειαί εἰσι.

XIV. Περὶ τῶν ζώων, καὶ πρῶτον τῶν ὀρνίθων.

142. Ἅπαν ζωῆς, αἰσθήσεώς τε καὶ κινήσεως μετέχον ζῶόν ἐϛι.

143. Τὰ ὄρνεα πτεροῖς ἵπταται· ἔνια μὲν πτήσει ὠκυτάτῃ τε καὶ ταχίϛῃ, ἄλλα δὲ βραδυτέρᾳ τὸν ἀέρα οἱονεὶ σχίζει· τὰ ἐνυδρόβια πτέρυξι νήχεται· τὰ τετράποδα τρέχει· τὰ ἑρπετὰ ἕρπει.

144. Τὰ ὄρνεα ἐϛι δίποδα, (ῥυνδάκην ἄποδα [24]) εἶναι μεμύθευται [25]), πτερωτὰ, ῥάμφη ἔχοντα· νυκτερὶς δὲ τριχώδης καὶ ὀδοντώδης ἐϛί.

145. Συλλέγοντα κόκκους τῷ ῥάμφει, πρηγορεῶνα (πρόβολον) πληροῖ [26])· οὐδὲν δὲ οὐρεῖ.

146. Ὠοτοκίας ἕνεκα ἀπονεοττεύει· (νεοσσοποιεῖ·) ἡ ἀλκύων ἀλκυόνια ἡμῖν ἐν πελάγει παρέχει.

22) φιλίω. 23) ἀποκόπτω. 24) ἄπους. 25) μυθεύω. 26) πληρόω.

147. Τότε ὠὰ τὴν λέκιθον καὶ τὸ λευκὸν ὑπ᾽ ὀστράκῳ κατέχοντα, τίκτει τε καὶ ἐπωάζει, ἕως αὐτὰ μὴ ζεφύρια (ὑπηνέμια) ὄντα ζωοποιῇ [27]· ἀπτέρους νεοσσοὺς φύει.

148. Ἁρπακτικὰ τάδε· γὺψ, ἰκτῖνος, ἱέραξ, αἰσάλων, τριόρχης, σπιζίας. Ταῦτα ἀγκύλαις ὄνυξιν ὀρνίθων τὰς ἀσινεῖς οἷον δὴ τρυγόνας ἁρπάζεται, καὶ ἀλοῦσα [28] ὠμῶς διασπαράττει.

149. Γλαὺξ νυκτὸς ὀξυδερκὴς, ἡμέρας ἀμβλυωπεῖ, καθὼς καὶ ἄλλαι νυκτεριναὶ, βύας, ὠτὸς, κικυβαίη, αἰγώλιος, αἰγοθήλης, νυκτικόραξ.

150. Ἴτυες, ὠτίδες, τέττιγες, μελεαγρίδες, ἀλεκτρυῶνες ἐκτομίαι, ἀτταγῆνες, πέρδικες, ὄρτυγες εἰς τὰ τῶν τραπεζῶν ἀρεσκεύματα τίθενται [29]), ἐν τοῖς ὀρνιθοτροφείοις εἴργονται, ἁβρῶς πιαίνονται.

151. Κύκνος, λάρος, πώπυγξ, κερκὶς, ὀνοκρόταλος, πελεκὰς, καὶ ἄλλοι ἔνυδροι στεγανόποδές εἰσιν· οὐδεμία πτερόπους ἐστί.

152. Ψάροι ἀγεληδὸν μὲν πέτονται, ἀτάκτως δέ· γέρανοι μάλα εὐτάκτως· ἐρωδιοὶ κομιδῇ (ὑπερβαλλόντως) ὑψιπέτεις.

153. Ὠδικὰ ὄρνεα· θραῦπις, κορυδαλὶς, φιλομήλα, χρυσομίτρις, σπίζα, χλωρίων, κόσσυφος, λινουργός.

154. Φάσσα, πελειὰς, περιστεραὶ ἄγριαι· τόπος περιστερῶν ἡμέρων τρεφομένων περιστερεών.

155. Μέροψ, ἔποψ, δρυοκολάπτης, συκαλὶς, ἐρύθακος, ὑπολαῒς, σκώληκας σιτοῦνται, ἴσως καὶ καύης, ἢ μᾶλλον ἰχθυδίοις χαίρει.

156. Τροχίλος, αἰγίθαλλος ἐλάττων, ὑπερκαταγελάστως τῷ στρουθιοκαμήλῳ ἑαυτοὺς ἂν συμβάλλοιεν.

157. Κίχλα ἑαυτῇ ὄλεθρον χέζει· ἐκ κόπρου γὰρ αὐτῆς ὁ ἰξὸς γεννᾶται.

158. Ὄρτυξ ὀῤῥοπύγιον βραχὺ ἔχει· σεισοπυγὶς πυγὴν ἀνενδότως κινεῖ· ταὼς πτερὸν ἑτερόχρωμόν τε καὶ πολυόμματον ἐκτανύων, ἐπὶ τῷ κάλλει γαυριᾷ [30]).

159. Ἡ κορυδαλὶς πλοκάμους, ἀλέκτωρ κοκκύζων τὸν λόφον ἐν κοπρῶνι ἰδίῳ ἀνίστησι.

160. Χὴν ψωμίσμασι πιαινόμενος, καὶ ἡ νῆσσα παππάζει, ἀλεκτορὶς κακκαβίζει, κόραξ κρώζει, ἀετὸς κλά-

27) ζωοποιέω. 28) αἱρέω. 29) τίθημι. 30) γαυριάω.

Digitized by Google

ζει, πέλαργος πλαταγίζει, κόκκυξ κοκκύζει, νυκτερὶς τρίζει, κίττα κιτταβίζει, κλοιὸς κολώζει, κορώνη κρώζει, χελιδὼν ψιθυρίζει, ςρουθίον πιπίζει.

161. Ψιττάκη ἐνάρθρως λαλεῖν ἐθίζεται.

162. Φοίνικα, γρύφα, ἁρπυίας μυθευθῆναι οἶμαι.

XV. Περὶ τῶν ἐνύδρων.

163. Οἱ ἰχθύες ὕδωρ ἐπιῤῥοφηθὲν [31]) διὰ τῶν βραγχίων ἀφιᾶσιν [32]).

164. Εἰσὶ δὲ ἢ λεπίδωτοι ἢ λεῖοι, (μαλακόδερμοι,) καὶ τούτων οἱ μὲν ζωοτόκοι, οἱ δὲ ὠοτόκοι.

165. Τὸ ἄῤῥεν γαλακτίδας, τὸ θῆλυ ὠὰ ἔχει.

166. Ποτάμιοί εἰσι· ἀκιπένσερ, θρίσσα ἀνόςεος, ἔγχελυς γλοιὴ, (σφαλερὰ,) ἢ δεδραγμένη [33]) διολισθαίνει, κεςρεὺς ποτάμιος, τρίγλα, τρώκτης, θύμαλλος, κωβιὸς, ἀφύη, κωβίτις, ἀφύη φαλαρικὴ, πορφύρα, λευκίσκος.

167. Λιμναῖοι· κυπρῖνος, λάβραξ, πέρκη, κορακῖνος, ψύλων, μελάνουρος.

168. Πελαγικοί· ῥαφὶς, ἄλμων, μυραινὶς, πλώτης, μύραινα, κόγγρος, βάτος, ὄςρεον, ῥόμβος, βούγλωσσος, πτειδίον, τριχίας, σκόμβρος, σαπέρδης, σκίλλα, καὶ ἄλλα ποικίλα τέρατα, οἷον ἱπποπόταμος, φώκη.

169. Μαινὶς τεταριχευμένη [34]) ἐν πιτύναις, σανίδων [35]) πελεκωθεισῶν [36]) τετυγμέναις [37]), ψῆτται δὲ καπνησαὶ ἢ διηλιωθεῖσαι ἐν δεσμιδίοις πωλοῦνται [38]).

170. Ὀνίσκος ξηρανθεὶς [39]), ἐὰν μὴ τυφθῇ [40]), ἐδώδιμος οὐκ ἔςι· τῆς ψήττης μείζονος τὰ σαρκώδη τε καὶ ξηρανθέντα μέρη πάρεςι.

171. Δελφὶς ἐπ' ὠκύτητι, φάλαινα ἐπὶ μεγέθει πάντων διαφέρει.

172. Καρκίνος καὶ ἄςακος πρόσω καὶ ὀπίσω ἐπὶ χηλῶν ἕρπουσιν.

173. Ἐξ ὀςρέου ὄςρεον ὁμώνυμον τῷ ζώῳ, ὡς καὶ ἔγκαυςον, παρασκευάζεται.

31) ἐπιῤῥοφέω. 32) ἀφίημι. 33) δράττω. 34) ταριχεύω. 35) σανίς. 36) πελεκάω. 37) τύχω. 38) πωλέω. 39) ξηραίνω. 40) τύπτω.

XVI. Περὶ τῶν κτήνων.

174. Τὰ κτήνη ζῶα οἰκεῖα ἡμᾶς ὠφελοῦντα [41]).

175. Κάμηλος κυρτὸς ἑαυτὸν οἷον ὄχημα πρὸς τὰ βάρη ἄλλοσε ὀχεῖν παρέχει.

176. Ἵππος χαίτῃ ἐπίσημος, καὶ τῇ γενναιότητι ἐμφύτῳ γοργούμενος [42]), σφριγῶν [43]), κριθιῶν [44]), ὅμως ἐχίνῳ δαμάζεται, (χαλιναγωγεῖται [45]), πωλοδαμνεῖται,) ποππυσμῷ ἐνίοτε (ἔσθ᾽ ὅτε) θέλγεται, ὥστε ἱπποβάτῃ πείθεσθαι [46]).

177. Ἀλλ᾽ οὐδέν γ᾽ ἧττον οὕτως ἀγριοῦται [47]), (ἀναχαιτίζει,) μάλιστα ἀχάλινος, ὥστε ἐκτραχηλισθέντα [48]) τὸν ἱππέα ἀποβάλλειν τε καὶ λακτίζειν.

178. Ἵππος τομίας (ἐκτομίας) ὀρχοτομίᾳ μάλιστα πραΰνεται, καὶ χρεμετισμοῦ λήγει.

179. Πωλάριον ὁπλὰς οὐ σιδηροῦται [49]).

180. Οὐδὲ ὁ ὄνος ἐπικαμπής, ὃς ὑπ᾽ ὀνηλάτου ῥοπάλῳ ἐπὶ βραδύτητι τυφθεὶς [50]) ὀγκᾶται [51]).

181. Ταῦρος δὲ ἀνθερεῶνος κρεμαστοῦ μυκᾶται [52]), ἐῤῥωμενέστερον ὀχευτικὸς ὤν· ἀμνὸς βληχᾶται [53]).

182. Κτίλος, κριὸς ἐκτετμημένος [54]), παιχθεὶς [55]) κορύπτει.

183. Ἔριφος, τράγος ὀρχοτομηθείς [56]) ἐστι· ὁ δὲ ἔριφος ἀσελγόκερως ἤρυγγον οὐκ ἔχει.

184. Χοῖρος γρύζων τὴν τροφὴν οὐκ ἀναπολεῖ, καίπερ δίχηλος· ἀπολυθεὶς πρὸς κυλινδήθραν ἐπανέρχεται· ἄτμητος κάπρος, ὗς ἐκτμηθεῖσα [57]) (ἀπόκοπος) Ῥωμαϊστὶ μαϊάλις.

185. Τὰ χοιρίδια ἀπογαλακτισθέντα [58]) (νεβροὶ) ἦτρον τῆς συός, αἱ χίμαιραι μαστοὺς τῆς θηλαστρίας αἰγός [59]) θηλάζουσιν.

186. Ὁ κύων εἴτε οἰκουρός, εἴτε ἁλυσίδετος, εἴτε προβατευτικός, σὺν τοῖς σκύλαξι τῶν ξένων τοὺς ἐγγίζοντας ὑλακτῶν [60]) λάθρα δάκνει.

41) ὠφελέω. 42) γοργοῦμαι. 43) σφριγάω. 44) κριθιάω. 45) χαλιναγωγέω. 46) πείθω. 47) ἀγριοῦμαι. 48) ἐκτραχηλίζω. 49) σιδηρόω. 50) τύπτω. 51) ὀγκῶμαι. 52) μυκῶμαι. 53) βληχῶμαι. 54) ἐκτέμνω. 55) παίζω. 56) ὀρχοτομέω. 57) ἐκτέμνω. 58) ἀπογαλακτίζω. 59) αἴξ. 60) ὑλακτέω.

Digitized by Google

187. Ἐρεθιζόμενος, (σεσυρὼς[61]) ἀρκαρίζει· τυπτόμενος κνυζᾷ[62])· ἄλλως τε βαΰζει.

188. Λυσσώδης ἀστατῶς πλανώμενός τε καὶ ἐπὶ τοὺς ἐντυγχάνοντας εἰσορμῶν[63]) σπαράττει· οἱ δὲ λυσσόδηκτοι ὑδροφόβοι ἀποβαίνουσι.

XVII. Περὶ τῶν θηρῶν.

189. Ἐν ἀβροῖς ἄλσεσιν, ὕλαις φυλλώδεσι, καὶ ἀνθεμώδεσι τέμπεσι βεβοσκημέναι[64]) αἱ θῆραι, πρὸς ἑαυτῶν σπήλαια ἐπανέρχονται.

190. Ἐλέφας τῶν θηρίων μέγιστος, βρυχώμενος, τὰ σκέλη οὐ φανερῶς κάμπτει, χαμαὶ δὲ κατακλινόμενος ἀναπαύεται· τὴν φορβὴν τῇ προβοσκίδι συστραφεῖσαν[65]) προσέλκει.

191. Ὁ μονόκερως ἐν πανερήμοις χηραμοῖς (ἀξένοις ἐσχατιαῖς) λανθάνει.

192. Ὁ ῥινόκερως ὀστώδη τινὰ λεπίδα περικείμενος τοῖς τῶν ἐλεφάντων ῥωμαλεωτάτοις πολεμεῖ.

193. Τὸ τῆς ἄλκης δέρμα στεγανὸν, ἄτρητον· πειρώμενος αὐτὸ τμήδην (ἐκ καταφορᾶς) τραυματίζειν, εὑρήσεις[66]).

194. Ἄρκτος λάσιος βρυχώμενος τὸ τεχθὲν[67]) περιλείχων, εἰ πιστεύομεν, μεταμορφοῖ[68]).

195. Ὁ πάνθηρ τὸ τῷ τρίτῳ ἅλματι οὐ δεδραγμένον[69]) ἀπολείπει.

196. Τίγρις τῇ ὠκύτητι καὶ ἀγριοσύνῃ ἁπασῶν θηρῶν διαφέρει.

197. Ἡ λύγξ ποικιλοδέρμων· τὴν ὄψιν κρατίστη· ἐντεῦθεν λύγκειοι προσαγορεύονται.

198. Ἔλαφον σαπρίζοντα τὰ κέρατα ὑπερμεγέθη οὐ βαρύνει· οὗτος ὠκύτατός τε καὶ μακρόβιός ἐστι.

199. Δορκὰς πλατύκερως αὐτῷ ὁμοία, τῷ δὲ μεγέθει ὑστερίζεται.

200. Ὁ αἰγόκερως καὶ ἴξαλος εἰς κρημνωρείας ἀναπηδῶσί[70]) τε καὶ καταΐσσουσι.

201, Βούβαλος, βίσων, ἄγριοι βόες[71]).

61) σύρω. 62) κνυζάω. 63) εἰσορμάω. 64) βόσκω. 65) συστρέφω. 66) εὑρίσκω. 67) τίκτω. 68) μεταμορφόω. 69) δράττω. 70) ἀναπηδάω. 71) βοῦς.

. Λέων λάσιος ὤμȣς φοβερώτατα βρύχει.

. Ἀλώπηξ, ἔαρος ἀρχομένȣ ἄθριξ ἀλωπεκιά-
-ȣσα [72]) ἀργαλέως τιθασσεύεται.

ι. Τȣ λαγὼ ȣδὲν δειλότερον· τὰ ὦτα ψοφοδεὴς
σι, τὴν ταχίστην πρὸς λασιῶνας ἢ φραγμῶνας ἀπο-
· ἁλισκόμενος ὠρύεται.

ι5. Λαγίδης σκάπτων σύριγγας, ἀσπάλαξ θρόμβȣς
.όφȣς) ἐγείρει.

ο6. Ἐχῖνος, χοιρόγρυλλος ἀντὶ τριχώματος ἀκαν-
ι.

ο7. Πίθηκος προπετὴς μιμῶ, μιμητικὸν γὰρ τῶν
ων ἀνθρωπίνων τȣτο τὸ θηρίον, ὡς καὶ κερκο-
·ηκος.

ο8. Μυόξȣ, καμψιȣρȣ, μέλιος, ȣδὲν ὑπνωδέστερον·
ιω γὰρ, ὡς φασὶ, πιαίνονται.

209. Ἄγρια γαλῆ, ἴκτις, γαλῆ Σκυθικὴ, Ἀλπικὴ,
ωρικὴ, Ποντικὴ, πρὸς διφθέρας τε καὶ μαλλωτὰς
ήσιμοί εἰσι.

210. Σκίȣροι, μυγαλαῖ, ὕρακες, ὑπὸ γῆς σπηλάδια
υτοῖς τȣ χειμερίζειν ὑποσκάπτȣσι.

211. Σημεῖον δὲ τὸν μῦν κατοικίδιον εἰς ταμευτήριον
ταμεῖον ὑποδύναι [73]), μυόκοπρος, καὶ τὰ βρώματα
εριβρωσκόμενα· ἐμπίπτȣσι δὲ ȣ σπανιάκις εἰς γαλεά-
γρας καὶ γαλᾶς.

XVIII. Περὶ τῶν ἀμφιβίων καὶ ἑρπετῶν.

212. Ἀμφίβια τάδε· κάστωρ, (ȣ ὀρχῶν τὸ καστόρειον
κκόπτεται) λȣτρα, βάτραχος βατραχίζων, χελώνη, φρύνη, χερσαῖος· κροκόδειλος τὴν ἄνω γνάθον μόνην μεταξὺ φαγὼν κινεῖ.

213. Τὰ ἑρπετὰ τὴν λεβηρίδα (σύφαρ) ἀποτίθεται [74]), οἷον ὄφις συρίζων, ὕδρος, ἀσπὶς, διψὰς, πτύας, ἔχιδνα, κεράστης, ἀμφίσβαινα.

214. Δράκων τῇ ἀναπνοῇ, βασιλίσκος τῇ ὄψει κτείνει.

215. Σαῦρος, σαῦρα, σαλαμάνδρα, σκορπίων ποδάρκεις.

216. Κοχλίαι χερσαῖοι γυμνοὶ κογχῶν εἰσιν, ἃς κοχ-

72) ἀλωπεκιάω. 73) ὑποδύνω. 74) ἀποτίθημι.

Digitized by Google

λίαι ποτάμιοι, ὥσπερ οἰκίδια, ὅποι ἂν ἕρπωσι, περικομίζουσι.

XIX. Περὶ τῶν ἐντόμων.

217. Ἔντομα τάδε, δηλαδὴ ποικίλοι σκώληκες, οἷον ἴουλος, (πολύπους,) σκολόπενδρα, τίπουλα· οἱ σκώληκες κοπρῶνας, κάμπαι τὰ φυτὰ, τερηδόνες τὰ ξύλα, σίλφαι ἐσθῆτας βομβυκινὰς ἢ ὁλοσηρικὰς, σῆτες τὰς βίβλους, σῆπες [75]) κρέατα, ἶπες [76]) ἀμπέλους, κανθαρίδες σῖτον καταβρώσκουσι.

218. Κόνιδες, φθεῖρες, ψύλλοι, κόρεις ἡμᾶς αὐτοὺς ἐνοχλοῦσι [77])· κυνόμυια, βδέλλα, γυμνωθέντας πολὺ μᾶλλον.

219. Βόμβυκες σηρικὸν, μέλιτται μέλι, (ὃ κηφῆνες ἐπινέμουσιν,) οὐχ ἑαυταῖς, ἀλλ' ἡμῖν ἐκπονοῦσι· καθ' ἕκαστον ἐνιαυτὸν σμῆνος ἀφιᾶσιν [78]).

220. Ἀνθρῆναι, σφῆκες κέντρον ὀξύτατον, ᾧ περγαμηνὰς περικαλυφὰς τρέουσι, δεικνύουσι.

221. Κτῆνος οἴστρῳ κεντηθὲν [79]), ὑποπηδᾷ καὶ ὡς λυσσῶδες ἄνω καὶ κάτω φέρεται.

222. Κανθάρων καὶ ἀκρίδων γένη πλεῖστα· ἔνια δὲ ἐδώδιμά ἐστι.

223. Βροῦχοι, κάνθαροι, κανθαρίδες, κανθαρίδες ἐρυθραῖαι, κάνθαροι κεράτινοι, σηποδοκίδες, πυγολαμπίδες, (λαμπυρίδες,) πυραῦσται πτηνοί εἰσι.

224. Τέττιξ ἔξωθεν, γρύλλος οἴκοι ᾄδει.

225. Μύρμηξ σμικρὰ μὲν, φιλόπονος δὲ ἀεὶ, ἢ κάρφος, ἢ ψιχίον ἢ ἄλλο τι βαστάζουσα διατελεῖ.

226. Ἀράχνης ἀράχνιον νεῖ, καὶ τοῦτο ἐπιχρύσων σανιδωμάτων ἐξάπτει.

XX. Περὶ τοῦ ἀνθρώπου.

227. Ὁ ἄρχων καὶ προστάτης ἁπάντων ζώων ἄνθρωπος, μικρόκοσμος τοῖς φιλοσόφοις λεγόμενος, (ἐπιτομὴ τοῦ μακροκόσμου) ὢν τυγχάνει, καὶ κλαίων τίκτεται.

228. Τοῦτον ἡ μήτηρ, ἢ ἡ μαιεύτρια σπαργάνοις τε καὶ ὀθονίοις εὐσκεπῆ περιζώννυσι, σκαφίδι εἰς πλευρὰς κινουμένῃ ἐντίθησιν.

75) σήψ. 76) ἴψ. 77) ἐνοχλέω. 78) ἀφίημι. 79) κεντέω.

. Ἡ τιθήνη (ἡ τροφὸς) περιέπȣσα ἐν κόλπῳ κεί-
τρόφιμον τοῖς τιτθίοις γαλακτοτροφεῖ, ῥυπαρὸν
κσσει· ὁ δὲ παῖς τὴν μητέρα θηλάζει.
. Ἀπὸ τῶν σπαργάνων πρὸς καμπισίγυια ἕρπει,
τὰ ἴχνη ἐρείδει, τȣ̃ τραυλίζειν, παιγνίοις, κορο-
οις, κροτοπαιγνίοις παίζων, ἄρχεται.
. Ἄνηβοι ἡβῶντές 80) τε καὶ τραγῶντες 81) τὴν
ν ἐναλλάττȣσιν.
:. Οἱ ἔφηβοι μείρακες, εἶτα νέοι λέγονται.
:. Ἀπὸ νηπιότητός τε καὶ παιδικῆς ἡλικίας ἡ ἀν-
ένη πρὸς τὸ γῆρας τὸ ῥυτίδας καὶ πολιὰς φερόμε-
τεύδει.
.. Γραῦς ἄφηλιξ, (ὑπεργήρως) ἀνόδοντος γίνεται·
βογέρων καὶ κρονόληρος ἐπικυρτȣ̃ται 82).
;. Ἡ νηπιότης ἑαυτὴν ἀγνοεῖ· ἡ παιδία ἐν παιγ-
διάγεται· ἡ νεότης ματαιοσπȣδεῖ· ἡ ἀνδρώδης ἡλι-
πιπόνως ἐκρέȣσα ἀπέρχεται· τὸ γῆρας πρὸς ἀρχὴν
ελθὸν 83) τὸν θάνατον ἐκδέχεται.
5. Οἱ γέροντες δὶς παῖδες ὄντες, ὅσῳ ποῤῥοτέρω
λικίας γένωνται 84), τοσȣ́τῳ ὡς ἐπὶ πολὺ μᾶλλον
ηπιȣ̃νται 85).
7. Τὸ τȣ̃ σώματος μέτριον σχῆμά τε καὶ μέγεθος
ισόν ἐςι.
8. Γίγας φοβερὸς, νάνος γελοῖος· τὸν μὲν ὡς μορ-
κειον ἀποςρεφόμεθα, τὸν δὲ ὡς ἔκβρωμα τῆς φύ-
παιζȣ́σης σκώπτομεν.
9. Λασίȣς τινὰς ἐν ἐρήμοις περιπλανᾶσθαι, διαβε-
ένον 86) μᾶλλον ἢ ἀληθές ἐςι. Τὸ λάσιον ἀγριότη-
τημεῖον.
.0. Οἱ πᾶνες, σάτυροι, ἢ λόγοι, ἢ δαιμόνια γεγόνα-
).

XXI. Περὶ τȣ̃ σώματος, καὶ τῶν ἔξω μελῶν.

ı1. Τȣ̃ σώματος ἡμῶν συνάφεια ἐξ ὀςῶν, χόνδρων,
ντων, νεύρων, σαρκὸς, μυῶν 88), χρωτὸς τριπλȣ̃ 89),
ὑμένων 90) εὐρύθμως συνημμένων 91) συνιςαμένη 92),
ακτὴρ τȣ̃ πανσόφȣ δημιȣργȣ̃ ἐπιφανέςατος 93) ἐςι.

) ἡβάω. 81) τραγάω. 82) ἐπικυρτȣ̃μαι. 83) ἐπανέρχομαι. 84) γί-
. 85) ἀπονηπιȣ̃μαι. 86) διαβοάω. 87) γίνομαι. 88) μῦς. 89) τρι-
90) ὑμὴν. 91) συνάπτω. 92) συνίςημι. 93) ἐπιφανὴς.

242. Τὰ μέλη ἁρμοδίως τε καὶ ἰσχυρῶς συνδεθέντα [94]) καὶ συνηρτημένα [95]) εὐσχήμονά τινα ἕξιν δείκνυσι.

243. Τὰ διπλᾶ [96]) ἐπὶ τῶν πλευρῶν ἑαυτοῖς ἀντίκειται· τὰ μονήρη ἐν μέσῳ τίθεται [97]).

244. Ἐν ταῖς τῶν ὄψεων διαγραφαῖς καὶ ἰδιότησι θαυμαστήν τινα ποικιλότητα εὑρεῖν [98]) ἐστι.

245. Τὸ μέτωπον στενὸν ὀνῶδες, ἀνασιλλόκομον εὐφυΐας, ῥυκνὸν ἀθυμίας, συννεφὲς ὀργῆς τε καὶ δυσθυμίας, ἐκρυτιδώμενον εὐθυμίας σημεῖόν ἐστι.

246. Ἡ κόρη, τῷ κυκλωπίῳ ἐρειδομένη, διόπτρα σφαιροειδεῖ τῶν προκειμένων εἴδωλα ἀναδεχομένη, ὡδὲ ὡς κάτοπτρον, αὐτὰ ἀνακρούσῃ, προσέοικε [99])· τὰ δὲ εἴδη ταῦτα τῷ δικτυοειδεῖ ὑμένι ἐμπεσόντα [100]) ἑαυτὰ διαγράφει.

247. Ταύτην τὰ βλέφαρα σκαρδαμύττοντα ὑγραίνει, βλεφαρὶς δὲ καὶ ὀφρὺς ἀπογεισσῶσιν.

248. Οἱ κάνθοι, (ῥαντῆρες, παρωπίαι) δάκρυα καὶ λήμας στάζουσι· τὸ κράνιον ῥαφαῖς τρισί, δηλαδὴ τῇ στεφανίτιδι, λαμβδοειδεῖ, καὶ ὀβελιαίᾳ διακρίνεται· τοῦτο ὑμὴν νευρόῤῥαφος ἐκ τῆς ἔξω μήνιγγος φυεὶς περιέχει.

249. Μεταξὺ τῶν κροτάφων καὶ τῆς ῥινός, ἣν ἄλλοι ἀνώσιμον, ἄλλοι ἐπίγρυπον καὶ ἐπικαμπῆ ἔχουσι, παρειαί τε καὶ αἱ γνάθοι εἰσί.

250. Διὰ ῥινῶν, ὡς δι' ὑπονόμου, ἡ μύξα ἐκρεῖ, ἣν τὸ τρίχωμα ἐν ῥισὶ κατέχει, τοῦ μὴ καταῤῥεῖν, ἐκτὸς εἴ τις αὐτὴν ἀπομύσσει.

251. Ὥσπερ ὁ νεανίας ἀγένειός ἐστιν, οὕτω νέος χνοῦν, ἀνὴρ πώγωνα, καὶ ἐν τῷ ἄνω χείλει μύστακα ἔχει· ἔνιοι γεγηρακότες [1]) ἀγένειοί εἰσι.

252. Τὸ τοῦ τραχήλου πρόσω μέρος σφαγή· τὸ δὲ ὀπίσω αὐχὴν λέγεται.

253. Ὁ θώραξ μαστοῖς καὶ θηλαῖς οἰδεῖ, ὃς κάτω τὴν γαστέρα, καὶ ἀμφοτέρωθι τὰ πλευρὰ ἔχει.

254. Αἱ πλευραὶ ἀπὸ μασχάλης ἀρχόμεναι εἰς ὑποχόνδρια διατείνουσι.

94) συνδέω. 95) συναρτάω. 96) διπλοῦς. 97) τίθημι. 98) εὑρίσκω. 99) προσείκω. 100) ἐμπίπτω. 1) γηράσκω.

:. Τὰ αἰδοῖα πεφυλαγμένως καλυπτέον ἐςί· ἀπο-
ῦν γὰρ αὐτὰ φανερῶς ἀναίσχυντος (κυνοθαρσὴς)

:. Ὑπ' ἰσχίȣ μηροὶ, ὑπὸ γόνατα κνῆμαι [2]), ὑπ'
; τὰ γαςροκνήμια κεῖται.
'. Ὑπὸ μεσοκύνιον πέλμα πολυόςȣν, ἀςραγάλοις,
α, περιφερεία τέλματος, καὶ τῇ κοτύλῃ συνα-
[3]), ἐςι.
;. Τὸ ἄνω νῶτον, ὠμοπλάτας, τὸ δὲ κάτω, ὀσφὺν,
ν, πρωκτὸν ἔχει.
). Ἡ ῥάχις θέμεθλον ȣ̃σα ὅλȣ τȣ̃ μηχανήματος
οντατέσσαρσι ςροφεῦσιν ἁρμοζόντως συνημμέ-
), τȣ̃ τὸ ὅλον σῶμα πανταχȣ̃ κινεῖσθαι [5]), ςρέ-
ι.
). Ἡ χεὶρ ἀγκῶνα; ὠλέκρανον, κοτύλην, θέναρ
ιταθεῖσαν [6]), κόνδυλον. δὲ συςαλεῖσαν [7]) λεγομέ-
συλλαμβάνει.
1. Οἱ δάκτυλοι πέντε ἀριθμὸν, ὧν ἕκαςος τρεῖς
κλίδας τε καὶ ἀρθρίδια ἔχει.
2. Τῷ ἀντίχειρι πιέζομεν, τῷ δεικτικῷ δεικνύομεν·
απυγὼν τῶν ἄλλων προέχει· μεταξὺ δὲ αὐτȣ̃ καὶ
τίτȣ, παράμεσός ἐςι.
3. Τοῖς ὄνυξι κνώμεθα [8]), (κναίομεν,) σπαράτ-
.
4. Ἡ ἀριςερὰ δράττεταί τε καὶ ἔχει· ἡ δεξιὰ δρα-
δυνάμει πονεῖ καὶ ἐργάζεται ἅπαντα προσηκόντως,
τις πρὸς τὸ μανθάνειν ἀφυὴς γέγονεν [9]).
5. Ἀμφιδέξιος πολὺ τȣ̃ σκαιȣ̃, καὶ ȣ̃τος τȣ̃ ἀνα-
διαφέρει τε καὶ προέχει.

XXII. Περὶ τῶν ἐντέρων.

6. Ἄγε τὰ ἔντερα σκοπῶμεν [10]).
7. Ἡ τροφὴ διγαςῆρσι τμηθεῖσα [11]), τοῖς γομφίοις
τριβεῖσα [12]), (γνάθος γὰρ μύλη τις) δι' οἰσοφάγȣ
ὴν ἄνω γαςέρα (κοιλίαν) καθίεται [13])· τετράποδες
ν τῷ μηρυςρῳ, κεκρυφάλῳ, ἠνύςρῳ καὶ ἐχίνῳ, ὅπȣ
σις γίνεται, εἰσδέχονται.

δνυ. 3) συνάπτω. 4) συνάπτω. 5) κινέω. 6) ἐκτείνω. 7) συςέλλω. 8)
. 9) γίνομαι. 10) σκοπέω. 11) τέμνω. 12) κατατρίβω. 13) καθίημι.

Digitized by Google

268. Αἱ Φλέβες μεσαραϊκαὶ τὸν χύλον ἐκμυζῶσαι [14]) πρὸς τὸ ἧπαρ ἕλκουσι, τῆς ἀφόδου δι᾽ ἐντέρων, τῶν μὲν λεπτοτέρων, δωδεκάτου, νήστιος, ἰλέου, τῶν δὲ παχυτέρων, πυλωροῦ, τυφλοῦ, ἀπευθυσμένου, ἀποκρινομένης.

269. Τὸ ὀῤῥῶδες δι᾽ οὐρητήρων πρὸς νεφροὺς ῥέον καὶ ἐντεῦθεν εἰς τὴν κύστιν ἀποστάζον, οὖρον γίνεται.

270. Τὸ πιμελέστερον [15]) διὰ τοῦ ἥπατος ἐρυθραινόμενον αἷμα διὰ φλεβῶν [16]) διαμεριζόμενον ἀποβαίνει.

271. Σπλὴν ὄργανον μελαγχολίας, αὐτὴν προσέλκει τε καὶ ἐκβάλλει· κύστις χοληδόχος, ὑπὸ λοβοῖς τοῦ ἥπατος κειμένη ταύτην συνέχει.

272. Τὸ Φλέγμα δι᾽ ἁπάντων τῶν ἐνδοσθίων διαῤῥοῦν [17]) πρὸς τὰ ἐνδότατα διαδύνει.

273. Ἡ καρδία ἐν τῷ στήθει κειμένη πρῶτον ζῇ [18]), καὶ ὕστατον διὰ τὴν σύμφυτόν τε καὶ εὔζωον θερμότητα θνήσκει.

274. Συνεχῶς γὰρ ὑπ᾽ αὐτῆς βράσσουσα καὶ ἀπαύστως ἀσπαρίζουσα, τὸ πνεῦμα ζωοποιὸν δι᾽ ἀρτηριῶν πανταχόσε διαχεῖ.

275. Ὑπὸ τοῦ προσκειμένου πνευμόνος καὶ ἀέρος, δι᾽ ἀρτηρίας τραχείας (ἧς βλαπτομένης, βράγχος, βὴξ, ἕπεται, ὡς καὶ ὑπ᾽ ἀμέτρου κραυγῆς,) προσελκομένου, ψύχεται.

276. Ταῦτα τὰ ἄνω ἔντερα τῆς κάτω κοιλίας τὸ διάφραγμα χωρίζει.

277. Τὸ ἐπίπλοον λαπάρην ἐλύει· τὸ μεσεντέριον μεσόκωλον, καὶ ἀνοχεὺς τῶν ἐντέρων ἐστί.

XXIII. Περὶ τῶν ἀμφὶ τὸ σῶμα.

278. Κατὰ τὰ ἔξω οἱ μὲν ἐπίσωμοι, καταπίμελοι, οἱ δὲ λειπόκρεοι, (λιπόσαρκοι, σφηκώδεις, μονόγραμμοι) οἱ μὲν εὐειδεῖς, οἱ δὲ δύσμορφοι δοκοῦσι [19]).

279. Κατὰ τὰ ἔσω οἱ μὲν εὐέκτεις (εὐεκτικοὶ,) οἱ δὲ νοσηματικοί· οἱ μὲν ῥωμαλέοι, εὔσιτοι, καὶ εὐσθενεῖς, οἱ δὲ ἀσθενεῖς καὶ μαλακῶς ἔχοντες φαίνονται.

280. Οἱ οὖλοι βραδέως μαδῶσι [20])· (φαλακροῦνται [21])· οἱ πυῤῥότριχες [22]) δυσχερῶς πολιοῦνται.

14) ἐκμυζάω. 15) πιμελής. 16) φλέψ. 17) διαῤῥέω. 18) ζάω. 19) δοκέω. 20) μαδάω. 21) φαλακροῦμαι. 22) πυῤῥόθριξ.

1. Οἱ Φοξοὶ εἰς Φρένησιν ἐπιΦερεῖς εἰσι· Φρενητι-
ὶ ἀποβεβηκότες [23]) εἰς γύγγαθον κατακλείονται.
2. Πολὺ κέρδιον μονόΦθαλμον καὶ ὑπότυΦλον
ἢ τυΦλὸν, ὑπόκωΦον ἢ κωΦὸν, μογιλάλον ἢ ψελ-
τραῦλον ἢ κωΦὸν, κυλλοπόδη ἢ ἔξαρθρον, ἐκμελῆ
ιοβόν.
3. Στραβὸς παραβλὼψ ἐςι· (διάςροΦος τὴν ὄψιν·)
ιματος ἕνα ὀΦθαλμὸν ἔχει· μύωψ ἐγγὺς κείμενα
ὁρᾷ.
4. Σιμοὶ (σιμοπρόσωποι) δεινοὶ ὀσΦραίνεσθαι, γνά-
ς πολυΦάγοι, χαλαροὶ τὰ ὦτα, καὶ λαιμὸν ȣ κοῖ-
εὐήθεις καὶ ἀΦυεῖς εἰσιν.
5. Ἀκροχορδὼν, μυρμηκιὰ, χοιρὰς, κυρτὸς, καὶ
ὄγκωμα δυσειδές.
6. Ὁμοίως καὶ κηλὶς, Φακὸς, πιτυρίασις, λειχὴν,
καὶ πᾶς σπῖλος αἰσχρόν.
7. Ὡσαύτως τετανικὸς, ἐπικεκυΦὼς, (λορδὸς,)
ιμονεῖ.
8. Μαδαροὶ (Φαλακροὶ) ἢ λειοκάρηνοι, ἢ ἀναΦα-
ίαι εἰσίν· ἔνιοι τὴν Φαλάκρωσιν κάλλος, πλειȣς αἰ-
ἡγȣ̃νται.
9. Χωλότης ἐξαρθρήσει, παράτριμμα ἀνατρίψει
τπασία, παρωνυχία Φλεγμονῇ καθίςαται [24]).
0. Στρεβλόποδες ὁμοίȣς τῇ δικέλλῃ πόδας [25]), βλαι-
ταῖς χηλαῖς, ῥαμβοσκελεῖς τοῖς τῶν ἀττελάβων
εσιν ἔχȣσι· βλαισόποδες δὲ, σκαῦροι, πλατύποδες
ὶς μὲν βαδίζȣσιν, ἀλλ' ȣ̓ χωλεύȣσι.
1. Σπάδων ὁ τȣ̀ς ὄρχεις (ὀρχείδια) ἐκτετμημέ-
), λειποδερμος ὁ τὴν ἀκρȣσίαν ἀΦαιρεθείς ἐςι.

XXIV. Περὶ τῶν νόσων.

2. Ὁ γαςὴρ, αἰτία πασῶν νόσων, κενὴ πεινᾷ τε
ιψᾷ, πλήρης ἀναλύζει καὶ ἐρεύγεται, ὠμὴ ἀπεψίᾳ
ἀποςρέΦεται.
3. Ἡ ὠχρότης καχεξίαν, ἡ ληθαργία τὴν τȣ̃ ὅλȣ
ιτος ἀσθένειαν σημαινει.
4. Τῶν νόσων αἱ μὲν ὀδύνην, αἱ δὲ νάρκην, αἱ μὲν
ιὸν, αἱ δὲ σπασμὸν Φέρȣσιν· αἱ τῶν νοσημάτων
ροΦαὶ ἀνθρώπȣς μάλιςα ἐξασθενίζȣσι, καὶ πολ-

ἀποβαίνω. 24) καθίςημι. 25) πȣ̃ς. 26) ἐκτέμνω.

Digitized by Google

λάκις σβεννύουσιν· ἐν αὐταῖς τὰ συμπτώματα, τὴν κρίσιν, παρακμὴν, ἀκμὴν τηρητέον ἐςίν· ἡ Φρίκη τῆς περιψύξεως μείζων, καὶ τοῦ ῥίγους ἐλάττων ἐςίν.

295 Οἱ νοσοῦντες [27]) μὴ τελείως ἑαυτοὺς ἀναλαμβάνοντες ἀσθενικοὶ, καὶ ὃ πολὺ χεῖρον, κλινοπετεῖς ἀποβαίνουσι.

296. Παραμυθία τοῖς ἀῤῥωςοῦσι [28]) τοιάδε τις πάρεςιν· ὁ δεινῶς ἀλγῶν [29]), ταχέως ἀπήλγηκεν [30]).

297. Ἡ κεφαλαλγία καὶ κεφαλαία, (πάθος χρονιώτερον,) ὅταν τὸ τοῦ κρανίου ὀςοῦν παχύτερόν ἐςιν, ἢ ἰλίγγου, ἢ μανίας αἰτία καθίςαται [31]).

298. Ἡ ὀδονταλγία τῶν βρεφῶν ὀδοντοφυούντων [32]) ἢ τοῦ οὔλου σηπομένου γίνεται.

299. Ἡ ὀφθαλμία παρασκευὴ τῆς τυφλότητος, οὐδὲ συνεχὴς συριγμὸς ἀγαθόν τι προμηνύει. Τὰ ὦτα συχνῶς ὠτογλυφίδι καθάριζε, καὶ ἧττον ἀνηκουςήσεις [33]).

300. Τὸ ῥεῦμα τοῦ κατάῤῥου καταςαγμός· τὸ ἆσθμα τῆς ἀναπνοῆς ἀδυναμία.

301. Ἡ κυνάγχη, φλεγμονὴ τῶν παρισθμίων, καὶ ὄγκος σκιῤῥώδης, ἵνα μὴ τὸν λαιμὸν ἄγχῃ, γαργαρισμῷ χρηςέον [34]) ἐςίν.

302. Ὄξει ἐν κοτύλαις τηρουμένῳ [35]) τὴν λειποθυμίαν καὶ ὀλιγοδρανίαν θεραπευτέον ἐςίν.

303. Διάῤῥοια, λειεντερία, δυσεντερία, ῥευματισμῷ κνίζουσι καὶ παροχλοῦσι [36])· τεινεσμὸς κενὴ τοῦ κακοῦ σπουδή ἐςιν.

304. Ἡ ςραγγουρία, ἢ κατὰ ςράγγα τοῦ οὔρου ἔκκρισις, ἀρχὴ τῆς λιθιάσεώς ἐςι.

305. Στρόφος, κωλικὴ, εἰλεὸς, χόρδαψος, δεινῶς ἀνθρώπους ςρεβλοῦσιν [37]).

306. Ἡ πλευρῖτις, τὸ τοῦ ὀσφύος ἄλγημα, ἴκτερος, χολῆς ἀνάχυσις εἰς τὸ δέρμα, πλεῖςον ἀναλγησίας ἔχουσιν.

307. Οἴδημα οἰδεῖ καὶ καταδύεται, οὐδαμῶς δὲ ἡ κήλη, βουβωνοκήλη, ἐντεροκήλη. Ταῦτα τὰ πάθη χρονιώτατα.

308. Ὅς τὸ τοξικὸν πέπωκεν [38]), οἰδαίνεταί τε καὶ φλεγμαίνει, ἡ δὲ θηριακὴ ἀντίδοτον κράτιςον.

27) νοσέω. 28) ἀῤῥωςέω. 29) ἀλγέω. 30) ἀπαλγέω. 31) καθίςημι. 32) ὀδοντοφυέω. 33) ἀνηκουςέω. 34) χράω. 35) τηρέω. 36) παροχλέω. 37) ςρεβλόω. 38) πίνω.

Digitized by Google

309. Ἡ ἀρθρῖτις τὰς τῶν κώλων συναφείας ῥεύματι
…ιώδει (γλισχρῷ) βασανίζει· ἡ ἐν χερσὶν [39]) οὖσα χειρά-
…, ἐν γόνασι, γονάγρα, ἐν ποσὶ ποδάγρα, ἐν ἰσχίοις
…ιὰς λέγεται· οἱ πόδες ὑπὸ τοῦ χειμέθλου ἀθλίως κα-
…ταθοῦσιν [40]).

310. Ὁ ῥιγοπύρετος (ἠπίαλος) ἄλλος ἐφήμερος, ἄλ-
… τριταῖος, ἀμοιβαδὸν ἐπανερχόμενος.

311. Ὁ τεταρταῖος, ὕδρωψ, φθίσις, νόσοι χρόνιοί τε
…θανάσιμοι χρονιότητι, ὑποσαρκίῳ ὕδατι, καὶ φλεγ-
…ῇ τῶν πνευμόνων.

312. Οἱ ἐκστατικοὶ καὶ ἐπιληπτικοὶ τῆς νόσου Ἡρα-
…ίας ὀλίγον ἀπέχουσιν.

313. Ὁ σπασμὸς πρόδρομος τῆς παραλύσεως, ἡμι-
…γγίας, ἀποπληξίας· ἡ μελαγχολία, καρδιαλγία, ἀτρο-
…, περιπνευμονία οὐ σπάνιαι μὲν, ἀλλ᾽ οὐκ εὐθεράπευ-
… τὸ ἐρυσίπελας φλεγμονῇ ἐρυθραίνει, ἰκσιμώτερον
… τράγος, ἱδρὼς καὶ δυσοσμία τῆς μασχάλης.

314. Ὁ λοιμὸς βουβῶνας καὶ ἄνθρακας ἐκβάλλει, ἐν
…ρεῖ δὲ τοῦ χρόνου αὐξανόμενος, μεγάλα ἔθνη τῇ ἀποῤ-
… λοιμικῇ καὶ τῇ ἐκ συναφείας διαφθορᾷ ἐκπέρθει.

XXV. Περὶ τῶν ἑλκῶν τε καὶ τραυμάτων.

315. Τὸ ἕλκος ὑπόπυον ἐξοιδοῦν [41]) ἀπόστημα λέγεται·
…ν, βρότος, ἰχὼρ τούτου διαῤῥηγνυμένου [42]) ἐκρεῖ· καὶ
…ον φλογώσει γεννᾷ.

316. Τὸ καρκίνωμα, ἕρπης, γάγγραινα, φαγέδαινα,
…ἀφροδίσιον νόσημα, λέπρα ἢ ψώρα ἀγρία, ἐκθλίμματα,
…έσματα, ἐκβράσματα, ἐξανθήματα κεγχρώδη, ψώ-
… τε καὶ ποθεδόνος δίκην κνησμώδη, καὶ τῇ συναφείᾳ
…ροποιά· τούτοις ὁμοία στομακάκη.

317. Τραῦμα γίνεται νήγματι (σίξει) ἢ καταφορᾷ,
…ηγὴ τυπῇ ἢ θλάσματι, ἧς σημεῖον πελιδνότης.

318. Τοῦτο παρορώμενον [43]) ἐξαγριαίνεται, καὶ οὐλῆς
…ῤῥαγείσης [44]) πυοῤῥεῖ.

319. Τὸ ἀπόστημα συνιστάμενον [45]), οὐλῆς μενούσης,
…ελκίδι ἐσχαροῦται [46]).

320. Σμώδιγξ τυπῇ, φλύκταινα καύματι, τύλος
…ληρότητι γίνεται.

…9) χείρ. 40) κακοπαθέω. 41) ἐξοιδέω. 42) διαῤῥήγνυμι. 43) παροράω.
…) ἀῤῥήγνυμι. 45) συνίστημι. 46) ἐσχαρόω.

Digitized by Google

XXVI. Περὶ τῶν ἔξω αἰσθήσεων.

321. Τὸ μὲν θερμὸν καὶ ψυχρὸν τῷ ψαύειν, τὸ ὑγρὸν καὶ ξηρὸν τῷ δράσσεσθαι, τὸ σκληρὸν καὶ μαλακὸν τῷ συμπιέζειν, τὸ τραχὺ καὶ λεῖον τῷ ψηλαφᾷν, τὸ βαρὺ καὶ κοῦφον τῷ αἴρειν διαγνώσῃ [47]).

322. Χειραπτάζοντες ζητοῦμεν [48]), ὃ μὴ ὁρῶμεν [49]).

323. Ἡ πρώτη τῶν αἰσθήσεων ἡ ψαῦσις, ἧς τὰ ἔξω μέρη τοῦ σώματος μάλιστα μετέχει.

324. Ἡ γεῦσις, ἣν πίθηκοι πάντων διαφέρουσι, τοὺς χυμοὺς διαγινώσκει.

325. Εἰδέναι [50]) θέλεις, εἴ τι εὔχυμον; ὑπερῴῳ μὴ ἀμβλεῖ γεύου [51]).

326. Τὸ σάκχαρ (μέλι καλάμινον) γλυκὺ, ἀψίνθιον πικρὸν, ὀξαλὶς ὀξώδης πίπερι δριμὺ, ἀγριάμπελος στρυφνὴ, ἄωρα μῆλα αὐστηρὰ, ἔνια πάντως ἄχυλα.

327. Ἡ ὄσφρησις, ἣν κύνες θηρευτικοὶ κράτιστοι, τὰ ὀσφραντικὰ διακρίνει.

328. Ὁ μόσχος, ζαπέτιον, (ἰχῶρ ἀμφ' ὀμφαλὸν γαλῆς ζίβετ συνειλεγμένος [52]), εὔοσμα· κραμβαλέον (ὀπτὸν) κνισσηρὸν, θνησιμαῖον κρέας δύσοσμον.

329. Ἅπαντα μυδαλέα καὶ εὐρώδη δυσώδη, τὰ ἐπίσαπρα καὶ ταγγὰ (οἷον σὰρξ χοίρεια, πιμελὴ,) ῥυπαρὰ καὶ δύσοσμα.

330. Τῇ ἀκοῇ, ἣν ὠτόεντες τῶν ἄλλων ἐξέχουσι, τὰ ἤχη διαγινώσκομεν.

331. Ἐναντία τάδε· ὁ γέλως, κλαυθμὸς, καγχασμὸς, θρῆνος, κρότος, αἰκισμὸς, ἀλαλὴ, στεναγμὸς, ψιθυρισμὸς, κραυγή.

332. Ἡ ἠχὼ τόνος ἐξ ἀνακλάσεως, συριγμὸς ἐκ συγκρούσεως, ἀραγμὸς ἐκ κτύπου, πάντων σιγώντων [53]) σιγὴ βαθεῖα, κλαυθμυρισμὸς τῶν παίδων ἐστί.

333. Τῇ ὄψει τὰ χρώματα συλλαμβάνομεν· τὸ μέλαν καὶ λευκὸν ἔσχατα, τὰ δὲ λοιπὰ διὰ μέσου.

334. Τοῦ μέλανος διαφοραί· τὸ μελανόχρουν ὡς πίσσα, φαιὸν ὡς Αἰθίοψ, καρύκινον ὡς στρούθιον, ζοφερὸν ὡς χὴν, σπάδιξ ὡς κάστανον, (λόπιμον).

47) διαγινώσκω. 48) ζητέω. 49) ὁράω. 50) εἴδω. 51) γεύομαι. 52) συλλέγω. 53) σιγάω.

Digitized by Google

35. Τοῦ γλαυκοῦ· καρυόφυλλον λέγε ὑακίνθινον, ἴον
-ϊνον, ἐρυθρόπελας μολιβδόχρουν, κυανὸν κυάνεον,
-ατα γαλῆς γλαυκά.

36. Τοῦ χλωροῦ· δρυμῶνα λέγε χλοερὸν, πίτυν πρά-
ν, πόντον ὑάλινον, πόντον κυματούμενον [54]) κυμα-
δῆ.

37. Τοῦ ἐρυθροῦ· λέαινα χαροπὴ, ἀλώπηξ πυῤῥὴ,
τος μιλτώδης, πορφύρα κοκκίνη, φλὸξ πυρώδης.

38. Τοῦ ξανθοῦ· τὸ ἀρσενικὸν ξανθὸν, νεκρὸς πελιδ-
λύκαινα χαροπὴ, κήρωμα κήρινον, σπλίνθος ἡμίε-
ος κιῤῥή.

39. Τοῦ λευκοῦ· τὸ σπόδιον, ὠχρὸν, γαλακτικὸν, μάρ-
ον, χιονόχροον [55])· ἔστι δὲ ἔνια δίχροα [56]), ἢ ἑτερόχρω-
ἢ κακόχροα.

XXVII. Περὶ τῶν ἔσω αἰσθήσεων.

40. Ἵνα αἴσθοιο [57]) αἰσθόμενος, τρεῖς ἐν ἐγκεφάλῳ
ιρμῷ καθαριζομένῳ αἰσθήσεις σοι ἐδόθησαν [58]).

41. Ὑπὸ τῷ κρανίῳ αἴσθησις κοινὴ, τοῦ ὁρατοῦ, ἀκου-
γευστοῦ νοήματα θεωρεῖ.

42. Αὕτη ἐν ὕπνῳ ὑπὸ τῶν ἀτμῶν ἐμφράττεται,
ὅθεν ἡ ἀναισθησία.

43. Ὑπὸ μεσοκράνῳ φαντασία οἰκοῦσα [59]) τὰς τῶν
ων διαφορὰς διακρίνει.

44. Αὕτη συνεχῶς κινουμένη [60]) ἐνθυμήσεις, ὕπνια,
πολλαπλάσια φαντάσματα σχηματίζει.

45. Ὑπ' ἰνίῳ μνήμη ταμεῖον τῶν νοημάτων.

46. Τὰ τῶν ἔναγχος ἢ πρὸ πολλοῦ γνωσθέντων [61])
ολα ἀναλαβεῖν [62]) ἀναμνησθῆναι [63]) καλοῦμεν [64]).

47. Τούτων ἐξαλειφθέντων [65]) λήθη ἐγγίνεται.

48. Ταῦτα οὖν πυκνῶς τῇ ἀναμνήσει ἀνακυκλοῦμεν [66]),
βεβαίως μεμνῆσθαι [67]) θέλομεν.

349. Μνήμων τις ὑπομνησάτω [68]), οὗ ἐπελαθόμην [69]).

350. Ἡ ὑπερβολὴ τῆς ἀγρυπνίας τὸν ἐγκέφαλον ἀμ-
ύνει, καταπονεῖ καὶ ξηραίνει· ὕπνος ῥαντισμῷ αὐτὸν
παύει τε καὶ κουφίζει.

4) κυματοῦμαι. 55) χιονόχρους. 56) δίχρους. 57) αἰσθάνομαι. 58) δί-
ι. 59) οἰκέω. 60) κινέω. 61) γινώσκω. 62) ἀναλαμβάνω. 63) ἀναμί-
μαι. 64) καλέω. 65) ἐξαλείφω. 66) ἀνακυκλόω. 67) μίμνημαι. 68)
μιμνήσκω. (ὑπομνάω).) 69) ἐπιλανθάνομαι.

Digitized by Google

351. Οὐδὲ οὕτως αὐτὸν ἡ ἀσιτία, ὡς ἡ ἀϋπνία, ἢ οὐ σπανιάκις ἡ τῆς διανοίας ἀῤῥωςία ἕπεται, βλάπτει· ἀΰπνους γὰρ πᾶσα ἀκμὴ ἀπολείπει.

352. Ὑπνηλὸς χασμᾶται [70]) καὶ σκορδινᾶται [71]), νυςαλέος νυςάζει, καθεύδων ῥέγχει καὶ ῥογχάζει.

XXVIII. Περὶ τοῦ νοῦ.

353. Ὁ νοῦς ἐν διασκέψει καὶ ἐπιζητήσει τῶν ὄντων τῷ λόγῳ, τοῦ εἰδέναι [72]) ὀρεγόμενος, ἀνακοινοῦται [73]).

354. Ὁ ἀγχίνους τὴν διάνοιαν ὀξὺς, μώλυς ἐπὶ βραδυνοίᾳ εὐκαταφρόνητός ἐςιν.

355. Ὁ πολλὰ ἐξερευνῶν φιλόπονος, ὁ εἰδὼς [74]), ἐπιςήμων, ὁ ἐπινοούμενος [75]), ἐπινοητικὸς, ὁ τῇ ἐπιςήμῃ τὴν ἐμπειρίαν προσζεύξας [76]), ἔμπειρος, ὁ χρῆσθαι [77]) δυνάμενος, φρόνιμος, ὁ χρησάμενος [78]), σοφὸς, ὁ ἀποχρώμενος [79]), δολόφρων, ἀπατηλὸς, δολομήχανος, ἐπίβουλός ἐςιν.

356. Ὁ μηδενὸς φροντίζων ναρκώδης, ὁ μηδὲν συνιεὶς [80]), ἀβέλτερος, ὁ μηδὲν διασκεπτόμενος, ἄβουλος.

357. Ἡ τῶν ὄντων σύλληψις ἀληθινὴ ἐπιςήμη, ψευδὴς πλάνη, ἀσθενὴς, δόκησις, ςοχαςικὴ, ὑποψία, ἀςατοῦσα [81]), διαπόρησις, ἐμποδιζομένη, πλάνη, οὐδεμία, ἄγνοια λέγεται.

358. Τὸ τῇ ἑτέρου τινὸς διηγήσει πιςεύειν, πίςις (πεποίθησις) λέγεται.

359. Θαυμάζομεν ὧν αἰτίαν ἀγνοοῦμεν [82]), ἐντεῦθεν τὰ θαύματα· ὃ ἡδὺ γνῶναι [83]), ἐρευνῶμεν [84]) τοσούτῳ ἐπιμελέςερον [85]), ὅσῳ ἐπικρυφώτερόν ἐςι.

XXIX. Περὶ τῆς βουλήσεως καὶ τῶν παθῶν.

360. Πρὸς τῆς βουλήσεώς ἐςι τ' ἀγαθὰ φιλεῖν τε καὶ θέλειν, κακὰ δὲ μισεῖν καὶ ἀβουλεῖν.

361. Κατὰ συμβεβηκὸς [86]) τὰ καλὰ ἀποςρεφομένη τοῖς πονηροῖς ἀρέσκεται, διαπατωμένη [87]) τῷ ἔξω εἴδει.

70) χασμῶμαι. 71) σκορδινῶμαι. 72) εἴδω. 73) ἀνακοινοῦμαι. 74) εἴδω. 75) ἐπινοοῦμαι. 76) προσζεύγνυμι. 77) χράω. 78) χράω. 79) ἀποχρῶμαι. 80) συνίημι. 81) ἀςατέω. 82) ἀγνοέω. 83) γινώσκω. 84) ἐρευνάω. 85) ἐπιμελῶς. 86) συμβαίνω. 87) διαπατάω.

Digitized by Google

2. Ἰδὲ, ὡς ὑποχείριος καὶ ὑπεξέσιος τοῖς πάθεσιν τυγχάνει, ὑφ᾽ ὧν διηνεκῶς παρακινεῖται [88]) καὶ καέφεται.

3. Ἄπεσι τ᾽ ἀγαθά; ποθεῖ αὐτῶν, εὔχεται, εὐφησπεδάζει, πειρᾶται, προσερείδει καδδύναμιν, ἀτυ- δ᾽ ὐδὲν ἧττόν γε φοβεῖται [89]).

4. Ἐντεῦθεν ἐπιθυμία, εὐχὴ, ἐλπὶς, σπεδὴ, παευὴ, ταραχή.

5. Τῷ ἐπιθυμῦντι [90]) ἡ ὠκύτης τριβή τις δοκεῖ· τοίνυν τῶν ποθεμένων [91]) τυχεῖν [92]), μικράν τινα ὴν ἀποδυσπετεῖ.

6. Πάρεσιν; ἐπ᾽ αὐτοῖς ἀγάλλεται, κυδιᾷ, χαίρει, τῇ ει τέρπεται, μηδ᾽ ἀποβάλῃ [93]) φοβεῖται· ἐντεῦθεν μία, ἱλαρότης, χαρὰ, ἡδονὴ, ὐ μὲν καθαρὰ, ἀλλὰ ω ἐπίμικτος.

7. Οἴχεται φρῦδα; περίλυπος, πολύθρηνος ὀδύρεμεμψίμοιρος ἀλγύνεται· ἐντεῦθεν λύπη, μετάνοια, θος, ὀδυρμός.

8. Τὰ κακὰ δὲ μᾶλλον αὐτὴν διασπᾷ, ἃ ἀναξίως οπαθῦσα [94]) ἀνατλᾷ.

9. Τὰ μέλλοντα δεινὰ βδελύττεται καὶ ἀφοσιῦ- [95]), τρέμει, ἀθυμεῖ· ἐντεῦθεν ἀποςροφὴ, φόβος, δειλίασις, τρόμος, ἀγωνία.

70. Τὰ προσερχόμενα κακὰ προορῶσα [96]) φρίσσει, ρβεῖ, ὀῤῥωδεῖ· ἐντεῦθεν ἀψυχία, ὀῤῥωδία, διαπτο- , θάμβος.

71. Προσεληλυθυιῶν [97]) περιςάσεων, ὀργίζει, λυπεῖ- [98]), πενθεῖ· ἐντεῦθεν ἡ ὀργὴ, λύπη, πένθος.

72. Οὐχ ὁμοίως ἐν ἀλλοτρίαις εὐτυχίαις τε καὶ χίαις ἔχει.

73. Εἴτε γὰρ συγχαίρει, εἴτε φθονεῖ εὐτυχῦντι [99]), τονηρὰ ὖσα ἐπιχαιρέκακός ἐςιν, ἢ ἀτυχῦντα [100]) εἶ.

74. Τῦ καλῦ ἄγνοια ὀλιγώρησίν τε καὶ φαυλισμὸν ρει· τίς γὰρ τὰ ἄγνωςα διώκοι; βιασμὸς δὲ ζῆλον, ος βδελυγμίαν, αἰσχρότης (ἂν ἐπ᾽ αἰσχροῖς ἐρυθριῶ- [1]), τὴν αἰδῶ [2]).

8) παρακινέω. 89) φοβῦμαι. 90) ἐπιθυμέω. 91) ποθέω. 92) τυγχάνω. ἀποβάλλω. 94) ὑβριοπαθέω. 95) ἀφοσιῦμαι. 96) προοράω. 97) προσεμαι. 98) λυπέω. 99) εὐτυχέω. 100) ἀτυχέω. 1) ἐρυθριάω. 2) αἰδώς.

Digitized by Google

375. Τῆς λύπης παραμύθιον, τὸ ἐνθυμεῖσθαι [3]) ἡμᾶς ἐνθάδε ξενοῦσθαι [4]) ὥσπερ φυγάδας, οὐδ' ἡμᾶς μόνους ταλαιπωρεῖν, ἀλλὰ πάντα πᾶσι συμβῆναι [5]).

376. Μετὰ γὰρ τὴν τῶν πρωτοπλάςων παρακοὴν, οὐδὲν ἐντελὲς, εἰλικρινὲς ἡμῖν ὑπόλοιπον· πάντα διεφθαρμένα [6]), ἀτελῆ, ἠμαυρωμένα [7]), συνελόντι [8]) γ' εἰπεῖν [9]), ἰλιὰς κακῶν.

XXX. Περὶ τῶν μηχανικῶν.

377. Καὶ ταύτη μὲν τὰ φυσικά· τέχναι βαναυσικαί εἰσι, δι' ὧν οἱ χειροβίωτοι (χειρώνακες) τὰ πρὸς τὸν βίον ἐπιτήδεια κτῶνται [10]).

378. Εἰς τούτων ἐργαςήρια εἰσελθεῖν [11]), τοῦ ἅπαντα θεωρῆσαι [12]), διεγνώκαμεν [13]).

XXXI. Περὶ τῆς κηπείας.

379. Ὁ κῆπος ἢ μηλὼν, (ὄρχατος,) ἢ ἀλωὰ, ἢ εὔχλοος φυταλιὰ, ἢ θηριοτροφεῖόν ἐςι.

380. Ἢ χωματίῳ, ἢ τεκτονικῷ φραγμῷ σανίδων πεποιημένῳ [14]), ἢ σκολοπόεντι [15]), ἢ αἱμασιᾷ φρυγανώδει περιφράττεται.

381. Κηπουρὸς σκαφείῳ, (δικέλλη) σκάπτει, σκαλεύει, καὶ τῶν πρασιῶν τὰ σπέρματα κατασπείρει.

382. Ὁ φυλλοτόμος κῆπον σπερματοφυῆ παρασκευάσας [16]), ἢ μοσχεύματα, ἃ οὐ πλείω [17]) ἢ ἕξ εἶναι προσήκει, ἢ αὐτόῤῥιζα φυτεύει· (καλὸν τὸ πεντάςοιχον σχῆμα) ἐπικεκομμένους [18]) ὄσχους, ἢ παρασπάδας ἐμβάλλει τε καὶ ἄρδει, τῷ κόπει τὰς παραφύσεις ἐγκόπτει, μολεύει, τῇ σκαπάνῃ, βωλοκοπήματι (ῥυκάνῃ) τὰς ἐκφυάδας τε καὶ παραβλαςήματα ἀποκόπτει, βοτανίζει, ἐκριζοῖ [19]).

383. Τὸ ἔλαιον ἐκ τῶν ἐλαιῶν ὑπ' ἐλαιοποιοῦ ἐκπιέζεται, πολλάκις μεταγγιζόμενον καθαρίζεται· ἡ ἀμοργὴ ὑφιζάνει· ἡ τρὺξ ἐκβάλλεται· τὸ καθαρισθὲν [20]) ἐν ληκύθῳ τηρεῖται [21]).

3) ἐνθυμοῦμαι. 4) ξενοῦμαι. 5) συμβαίνω. 6) διαφθείρω. 7) ἀμαυρόω. 8) συναιρέω. 9) ἔπω. 10) κτῶμαι. 11) εἰσέρχομαι. 12) θεωρέω. 13) διαγινώσκω. 14) ποιέω. 15) σκολοπόεις. 16) παρασκευάζω. 17) πλείων. 18) ἐπικόπτω. 19) ἐκριζόω. 20) καθαρίζω. 21) τηρέω.

Digitized by Google

4. Ὁ μελισσοβότηρ σμήνους ἐκ ἀνωφελοῦς Φρον-
ἔχει, κηρὸν τήκει καὶ καθαροποιεῖ.

XXXII. Περὶ τῆς γεωργικῆς.

5. Γεωργός ἐςιν ὁ γεωργῶν [22]), καὶ τὰ πρὸς βίον ἐκ προσόδου τε καὶ τιμῆς τῶν πωλουμένων [23]) καρπῶν ·άμενος [24]).

6. Ὁ τῶν τελῶν ἐργολάβος τὰ μισθώσιμα χωρία, ιατευτὴς κέρδους ἕνεκα τὰ δεκατημόρια, ὁ τελώνης ·ελώνια, ὁ βοτὴρ τὰ εὔβοτα μισθοῦται [25])· ὁ πιςευ- [26]) τινα ἔπαυλιν, ἐπιςάτης (ἀγρονόμος) ἐςίν.

7. Ἡ ἄρουρα τῶν βώλων καθαρισθεῖσα [27]), τοῦ εὐ- ωτέραν εἶναι, κοπρίζεται, πρὶν ἂν κατασπείρηται.

8. Τὸ νέωμα παλιμβλάςου, ἀγρὸς καταβραχεὶς [28]) ;, σομφώδης φαραγγώδους γονιμώτερος.

9. Ὁ ἀρώσων [29]) ἐπ᾽ ἀρότρῳ βοῦς ζυγοδεσμίῳ, ὃ ίνῳ συζευγνύει, καὶ σύζυγοι βόες λέγονται.

90. Τότε αὐτὰς ἐλαύνων τε καὶ κεντίζων ἀροῖ [30]), ·εροῖ, τριτοῖ, βωλοκοπεῖ, σκάλλει, σπείρει, αὐλακί- καὶ βουςροφὰς ποιεῖ.

91. Τὴν αὔλακα τέμνων, ἑτέρᾳ ἐχέτλην, τοῦ τῆς ακος μὴ διαμαρτεῖν [31]), ἑτέρᾳ δὲ βωλοκόπον ἔχει· τῇ ιίδι δὲ τῷ ἐλύματι ἐμπηγνυμένῃ [32]), ἕως γήτη τελε- [32]), ἀροτρεύει.

92. Τὰ προσχώματα αὔλαξιν ἐπικείμενα πλαγίως ται, τοῦ τὴν ἰκμάδα ἄλλοσε διὰ τῶν ὑδρορῥοιῶν με- ;ετεύεσθαι.

93. Τὴν ὀξίνην σιδαρείην χρὴ εἶναι ἐν ἀργιλώδει καὶ χμικῇ γῇ· ἐν ψαμματώδει ξυλίνη ἀρκεῖ.

94. Τοῦ ληΐου βλαςάνοντος, ὅπως μὴ ὑπὸ ζιζανίου ͻπνιγῇ [34]), τῇ σκαλίδι σκαλευτέον ἐςί.

95. Τοῦ ἀμητοῦ ἐγγίζοντος, οἱ θερισαὶ σὺν ὀξείαις [35]) πάναις εἰς ξανθὸν λήϊον ἀποςέλλονται, τοσούτῳ πε- αρέςεροι [36]), ὅσῳ ἀγρὸς εὐφορώτερός ἐςιν· οὗτοι δραγ- τεύοντες τοῖς πένησι ςαχυολογεῖν ἐπιτρέπουσι.

96. Συλλέγουσιν ἰούλους (ἀμάλλας) δικέλλῃ, θώμιγξι δέουσι, καλάμας ἐν ἀγροῖς λείπουσι.

2) γεωργέω. 23) πωλέω. 24) κτῶμαι. 25) μισθόομαι. 26) πιςεύω. καθαρίζω. 28) καταβρέχω. 29) ἀρόω. 30) ἀρόω. 31) διαμαρτάνω. ἐμπήγνυμι. 33) τελέω. 34) ἀποπνίγω. 35) ὀξύς. 36) περιχαρής.

397. Τὸν σῖτον ταῖς ἁμάξαις ἐπιτεθέντα [37]), εἰς σιτοβολῶνας ὀχῦσιν [38]), ἢ ἐπιπαραντῦσιν [39]).

398. Οἱ ἀλωεῖς ταῖς τυκάναις ἐν ἅλῳ ἀλοῶσι [40]), (πρόπαλαι τριβόλῳ ἐτρίβον·) κάρφος καὶ ἀχυρτίδες λείπονται.

399. Οἱ λικμητῆρες τὸν σῖτον τῷ πτύῳ λικμῶσιν [41]), ὅπως ἄχυρον, καὶ τὰ ἐνισχόμενα ἐκκρίματα, ἢ διαττόμενα [42]) διακριθῇ [43]).

400. Τὸ δὲ λοιπὸν ἀπόκριμα σινιατηρίῳ ἢ κοσκίνῳ καθαρίζεται, ἵνα σῖτος ἀμιγὴς εἰς ςέγας ὀχῆται [44]).

XXXIII. Περὶ τῆς μύλης, καὶ τῶν μυλωθρικῶν σκευῶν.

401. Ὑπέρῳ πάλαι ἐν ὅλμῳ ἔθλων [45]) (ἐλεπτοκόπυν [46]) ὅθενπερ πτισάνη.

402. Τῷ ἔπειτα χρόνῳ τριβιδίῳ ἐν ἀλφιτείῳ διέπτυσσον [47]), ὅθεν πόλτος, ἀθάρα, χόνδρος, καὶ τὰ λοιπὰ τεθλασμένα [48]).

403. Τέλος οἱ μηχανικοὶ θαυμαςῇ ἀγχινοίᾳ πρῶτον ἀνεῦρον [49]) τὰς χειρομύλας, ἔπειτα μύλυς ὀνικὺς, ἀνεμοδρόμυς, ὑδρομύλας.

404. Ὅπυ τὸ ἄλφιτον (κρίμνον καὶ ἄλευρον) διὰ σινίυ κιλικίυ, πιτύρυ ἀποβληθέντος [50]), ἐκσείεται.

405. Ἀλλ' ὁ μυλοκόπος (ἀλευροποιῶν [51]) σεμίδαλιν ἀκριβῶς συσσωρεύων τε καὶ συσσαίρων, τὰ πρὸς ἄλφιτα, ὡς ἔνι μάλιςα, διώκει.

XXXIV. Περὶ τῆς σιτυργίας.

406. Ὁ ἀρτοπώλης τὸ φύραμα ἐν μάκτρᾳ τῇ σπάθῃ ξυλίνῃ φυρᾷ, καὶ ἐν κλιβάνῳ ἀρτοποιεῖ καὶ ἰπνοῖ [52])· ὁ ζυμίτης δύο πλάκας, μυελὸν δὲ ἐντὸς ἀραιὸν ἔχει· ἄζυμος ζύμης ἄμοιρος παχύτερός ἐςιν.

407. Ὁ πεμματυργὸς καὶ ἀρτοκρεοποιὸς ἐκ σεμιδάλεος λιχνεύματα, σπατάλας, τῶν κωμαςηρῶν ἐν τοῖς κώμοις προσφάγια, παρασκευάζει.

37) ἐπιτίθημι. 38) ὀχέω. 39) ἐπιπαρανέω. 40) ἀλοάω. 41) λικμάω. 42) διάττω. 43) διακρίνω. 44) ὀχέω. 45) θλάω. 46) λεπτοκοπέω. 47) διαπτύσσω. 48) θλάω. 49) ἀνευρίσκω. 50) ἀποβάλλω. 51) ἀλευροποιέω. 52) ἰπνόω.

Digitized by Google

Τȣ́τοις συγγενῆ τάδε· οἱ πλακȣ̃ντες, ϛρεβλῖται, ντια, λάγανα, μελιττώματα, μελίπηκτα, ϛρε-ἄρτοι, ἀρτοκρέατα, τηγανῖται μετὰ τυρȣ̃ ὀπτώ-3), ὀβελίαι ἄρτοι, ϛρέμματα.

XXXV. Περὶ τῆς κτηνοτροφίας.

). Ὁ μηλοβότης σύριγγι, πήρᾳ, (λαγωβόλῳ) μα-εκοσμημένος [54]) ἀγέλην, ἐν ᾗ τὸ ἰδιόκτητον κεχα-ρισμένον [55]) ἔχει, πρὸς βοσκὴν ἐξάγει.

). Ὁ λύκος (βορώτατον θηρίον), ὃς πεινῶν [56]) ὠρύε-ȣ̓ μόνον εἰς ποίμνας καὶ ἀγέλας, ἀλλὰ καὶ εἰς βȣ-εἰσβάλλει, οἷς οἱ μολοσσοὶ τοῖς τριβόλοις τȣ̃ περι-ς πεποιθότες [57]) ἀμύνονται.

1. Τῶν ποιμένων [58]) οἱ πλανώμενοι [59]) τὰς βοσκὰς ραι ἀλλάττοντες, τὰς μάνδρας ἐν ἁμάξαις (ὀχή-) περικομίζȣσιν.

2. Αἱ μάνδραι εὐμετακόμιϛοι τῶν προβάτων ϛαθ-τῆς ἐπαύλεος πολὺ διεχȣ́σης, εἰσίν.

3. Οἱ βοηλάται τὰς βȣ̃ς ἐκ βȣϛάθμȣ, συβῶται ἐκ σίȣ τȣ̀ς χοίρȣς κέρατι ποιμαντικῷ ἐκκαλȣ̃σιν [60]).

4. Οἱ μὲν ἐν φάτναις, οἱ δὲ ἐν μονοξύλῳ τὴν τρο-ϲῖον πόαν, κάρφος, ἄχυρον, σῖτον παρέχοντες, ίθρῳ τȣ̀ς ϛαθμȣ̀ς ἐκκαθαίρȣσι.

5. Μόσχος καὶ ἄμνος ὑπομάζιος ἐκ μαϛῶν τὸ πύον λάζȣσιν, ἡ δὲ παιδίσκη τὸ γάλα ἀμολγεῖ [61]) ὑπεκ-μένη ἀμέλγει.

6. Τὸ τȣ̃ γάλακτος [62]) πῖαρ βȣ́τυρον, γάλα ἐκπιε-[63]) τε καὶ πεπηγὸς [64]) τυρὸν ἢ βόειον, ἢ προβατι-) αἴγειον ἀποδίδωσιν· ὁ Παρμαϊκὸς ἀπερρινημένος [65]) ντων βέλτιϛός ἐϛι.

17. Φορβὰ βȣ̃ς ἐπίτοκος ȣ̓́πω κυοφορȣ̃σα [66]) δάμαλις διον) λέγεται.

18. Ὁ χόρτος ἐν βȣνόμῳ (χορτοκοπείῳ) δρεπανίῳ τοκοπȣ́μενος [67]), καὶ παλιντομȣ́μενος [68]) ξηραίνεται, ίφνȣ εἰς κώνȣς συσσωρεύεται, δραγματεύεται, καὶ ς ἐν χορτῶνι ὀχȣ́μενος [69]) κατατίθεται [70]).

) ὀπτάω. 54) κοσμέω. 55) χαρακτηρίζω. 56) πεινάω. 57) πείθω. ποιμήν. 59) πλανῶμαι. 60) ἐκκαλέω. 61) ἀμολγεὺς. 62) γάλα. 63) ζω. 64) πήγνυμαι. 65) ἀποῤῥινάω. 66) κυοφορέω. 67) χορτοκοπέω. παλιντομέω. 69) ὀχέω. 70) κατατίθημι.

Digitized by Google

419. Ἐκ πόας εὐθαλῶς ἀναβλαστούσης [71]) χόρτος ὄψιμος, πάνυ ὠφελίμη τροφὴ τοῖς ἱπποφορβοῖς παρασκευάζεται.

XXXVI. Περὶ τοῦ σφαγείου.

420. Ὁ κρεουργὸς τὰ τῶν κτηνῶν εὐτρεφῆ ἐν κρεοπολείῳ σφάζει, ἀναδέρει, ἀνατέμνει (τὰ ἀπιμελῆ οὐ πάνυ ἐδώδιμα, τίς γὰρ ἂν φάγοι;) πωλεῖ κρέας βοϊκὸν, (οὐ βουβάλιον,) χοίρειον, προβάτειον, μόσχειον, ἐρίφειον, σπανιάκις καπρινὸν, ἢ ἄλλο θηρίον.

421. Τὰ ἔντερα μυῶνος πλήθων ἀλλάδας, οἷον δέλφυας, φύσκας, εἰλεὰ λεπτὰ καὶ σεσαγμένα [72]), τεμάχας, αἱματείας, ἰσίκια, κρεᾶια, πέρνας, πετασῶνας, ταριχίας ποιεῖ.

422. Ἡ πιμελὴ οὐχ οὕτω πυκνῶς συμπήγνυται [73]) τε καὶ θρομβοῦται [74]), ὡς τὸ στέαρ, πιωδεστέρα [75]) γάρ ἐστι.

XXXVII. Περὶ τῆς θήρας.

423. Ὁ θηρευτὴς τοὺς θάμνους ἀρκυοστασίῳ περικαταλαμβάνων, εἰς τάφρους ἢ βόθρους τὰς θήρας διώκων ἄγει, ἢ κυνῶν [76]) θηρευτικῶν τε καὶ εὐοσφρήτων ὠκύτητι, ἰχνῶν τεκμαιρόμενος, θηρεύει τε καὶ ἁλίσκει.

424. Οἱ ὀσφραντικοὶ ἐρευνῶσι [77]), κνυζῶσιν [78]), οἱ θηρευταὶ διώκουσί τε καὶ ἁλίσκουσιν.

425. Ἡ ἔλαφος τοῖς ἀρκύοις ἢ δικτύοις ἐρειδομένοις καὶ ἐκτανυμένοις [79]) ἐπὶ σταλίκων [80]) καὶ ἐπιδρομίδων ἐμπεσοῦσα [81]), ἐμπλέκεται, περιέχεται, ἐμποδίζεται, κτείνεται, ἐκπεσοῦσα [82]) δὲ αὐτῶν φυγὴν ἐπιταχύνει.

426. Κάπρος ἀφρίζων καὶ ἐριμαίνων προβολίῳ διαπαρεὶς [83]) θνήσκει.

XXXVIII. Περὶ τῆς ἁλιευτικῆς.

427. Ὁ ἁλιεὺς ἐν λίμνῃ καὶ ἰχθυοτροφείῳ χρῆσθαι [84]) εἴωθε [85]) λίνῳ, γαγγάμῃ, δικτύῳ διπλῷ [86]), τριπλῷ, ἀμφιβλήστρῳ, ἐν ποταμῷ σαγήνῃ καὶ κύρτῳ·

71) ἀναβλαστέω. 72) σάττω. 73) συμπήγνυμαι. 74) θρομβόομαι. 75) πιώδης. 76) κύων. 77) ἐρευνάω. 78) κνυζάω. 79) ἐκτανύω. 80) στάλιξ. 81) ἐμπίπτω. 82) ἐκπίπτω. 83) διαπείρω. 84) χράω. 85) ἔθω. 86) διπλοῦς.

Digitized by Google

τρω δελεασμὸν ἔχοντι πανταχȣ̃· τῇ τριαίνᾳ ἐγχέ- διαπείρει· (διελαύνει) τοῖς ἐκδοχείοις ἰχθύας δέχεται· ἐν σπιριδίῳ αὐτȣ̀ς τηρεῖ.

XXXIX. Περὶ τῆς ὀρνιθοθήρας.

ὸ8. Ὁ ὀρνιθηρευτὴς πάντα παρασκευασάμενος [87] παλευτῶν, καὶ παλευτριῶν ὄρνιθας παλευομένȣς τε δελεαζομένȣς ἢ καλάμῳ ἰξώδει τῷ ἰξευτικῷ ἐμ- νυμένῳ συμπεδίζει, ἢ παγίδι παγιδεύει, (διὰ σπαρ- θηρᾶ,) ἢ δελεάςρᾳ αἱρεῖ.

29. Τὰ ὄρνεα ᾠδικὰ ἃ ζωγρεῖ, ἐν οἰκίσκῳ ὁμῶς ἢ ;ωρισμένως τηρεῖ, τρέφει, καὶ ἐν ποτίςρῃ ποτίζει.

430. Εἴ τι τὰς πέδας ὑπεξέφυγει [88], ἀποπέτεται, ἂν ῥᾳδίως αὐτὸ ἀναλήψῃ [89], εἰ μὴ αὖθις τῷ δικτύῳ τεσεῖται [90].

XL. Περὶ τῆς μαγειρικῆς.

431. Ὁ ταμιȣ̃χος ἐκ τȣ̃ ταμιεȣ τὰ ἀπόθετα προφέ- ν τῷ μαγείρῳ ἀποδίδωσιν, αὐτὸς δὲ ἐκεῖνα ἀγορασθέν- ε [91] ὑπὸ τȣ̃ βιωνȣ τέμνει, διακοπέντα [92] κρεȣργηδὸν ·αβράσσει, ἐπὶ Φλυγώδȣς ἐσχάρας ἐΦιεὶς [93] αὐτὰ εἰς ἐβητα χάλκειον, ἢ κακάβην, ἢ ὀβελῷ διαπαρέντα [94] ι κρατευτηρίῳ περιδινȣμένῳ [95] ὀπτᾷ, ἢ ἐπ᾽ ἐσχαρίδος νθρακίζει, ἢ ἐν τηγάνῳ Φρύττει.

432. Τȣ̃ βράζοντος τῇ τορύνῃ τὸν ἐκβρασμὸν παύει, τὸ Φρίζον τῷ τριπτῆρι ἀπαΦρίζει.

433. Τῇ κρεάγρᾳ τὰ ζέοντα ἐξέλκει, τῷ ταλάρῳ ιἠθει.

434. Τὰ λοιπὰ σκεύη μαγειρικὰ τάδε· πυρΦόρον, τατέλλιον, (πατάνη,) ἐσχαρεὼν, πυρεῖον, τρίπȣς, τυ- ρόκνησις, ἐσχαρὶς, μονόξυλον, κρωσσὸς, ὑδρεῖον, παροψὶς, πίναξ, τρύβλιον, μαζονόμιον· ταῦτα δεξαμενῇ ἐκλȣ́εται, ἐν πυέλῳ θερμοῖ, τȣ̃ τὸ πικρὸν αὐτῶν γλυκαίνεσθαι, τέγγονται καὶ ἐμβρέχονται.

435. Τῆς τȣ̃ σκεύȣς λαβῆς ἀντιλήψῃ [96]· εἰ δὲ δίω- τον, ἀπορεῖν ἕξεσιν, ἢ ληπτέον [97] ἐςί· τὸ ἄνωτον μὴ περιτρέπῃς, Φυλάττȣ [98].

[87] παρασκευάζω. [88] ὑπεκφεύγω. [89] ἀναλαμβάνω. [90] ἐμπίπτω. [91] ἀγοράζω [92] διακόπτω. [93] ἐφίημι. [94] διαπείρω. [95] περιδινέω. [96] ἀντιλαμβάνω. [97] λαμβάνω. [98] φυλάττομαι.

436. Τὰ ὄρνεα τίλλονται, ἰχθύες λεπίζονται, ἐξεντερίζονται, ῥαχίζονται.

437. Ὀπτοὶ ἰχθύες καὶ καπυροὶ ὑγιεινότεροι τῶν ἑφθῶν μὴ ἀφθονώτερον ἀρτυομένων εἰσί.

438. Τάριχος, τὰ ταριχηρὰ, τὰ καπνιστὰ δύσπεπτα, καὶ διὰ τοῦτο τῇ ὑγιείᾳ οὐ πάνυ πρόσφορά ἐστι.

XLI. Περὶ τῆς τῶν ποτίμων παρασκευῆς.

439. Ὁ ἀμπελουργὸς νέας ἀμπέλους φυτεύει τε καὶ μοσχεύει τὰ κλήματα, τὸν ἀμπελῶνα τῇ δικέλλῃ σκάπτει, τὰ κλήματα βλαστολογεῖ, σφύραις συνδεδεμένα στηρίζει, συφακίζει, ἐπιτρέπων τοῖς πένησι βοτρυῦν [99].

440. Ἐν τρυγητῷ ἐκ σταφυλῶν γίγαρτον ἐχουσῶν, πρῶτον ἐν ληνῷ τραπουμένων [100]), εἶτα ἐν τριπτῆρι θλιβομένων γλεῦκος ἐκρεῖ, ὃ μεταγγιζόμενον εἰς κάδον, καὶ ὑλιζόμενον οἶνος λέγεται, ποτὸν ἐκ σκυθρωπῶν δεινὸν ἱλαροὺς ποιῆσαι.

441. Ὁ οἶνος διετὴς κράτιστος, αὐτετὴς τρυγώδης.

442. Ὁ οἶνος ποιητὸς ἀψινθίτης, ἑλενίτης, Ἱπποκρατικὸς, καὶ ἄλλοι τοιουτότροποι.

443. Οἶον ἕψημα, σειραιὸς, ἐξεστηκὼς, ὀξίνης, ἐξιστάμενος [1]), τροπίας.

444. Ἀπορίας τούτων οὔσης, οἰνόμελι καὶ ζύθος βύνης καὶ βρύου ἑψᾶται [2]).

445. Ἀποκατατίθεται [3]) ἐν ψυχροτέραις οἰνοθήκαις, σφηκοῦται [4]), ὃν ταμίας σίφωνι ἢ ἐπιστομίῳ ἀρύει τε καὶ προχειρίζεται.

446. Ἐν κάδοις εὐμεγέθεσι, καὶ ἐφ' ὑψηλοτέρων ὑποθεμάτων κειμένοις εὐχυμότερός ἐστι, διὰ τὸ μὴ ἐξατμίζεσθαι, ἐκπνευματοῦσθαι [5]), ἐξαεροῦσθαι, ἐξίστασθαι [6]).

447. Ἐκ κάδου ἐπικλιθέντος [7]) καὶ κινουμένου [8]) τρὺξ ἐκρεῖ.

448. Τῶν γιγάρτων ὁ δευτερίας, (στεμφυλίτης,) ὕδατος πηγαίου ἢ φρεατιαίου πολὺ κρείττων, ποιεῖται.

99) βοτρυδόω. 100) τραπέω. 1) ἐξίστημι. 2) ἑψάω. 3) ἀποκατατίθημι. 4) σφηκόω. 5) ἐκπνευματοῦμαι. 6) ἐξίστημι. 7) ἐπικλίνω. 8) κινέω.

Digitized by Google

449. Αἱ χῶναι (ἐπιλύσεις) λαγήναις καὶ κεραμίοις προσόμοις καὶ μειερίζεσι, κατὰ σαγόνας πληθομένοις, χρήσιμαί εἰσι.

XLII. Περὶ τῆς ἡνιοχείας.

450. Ὁ ἱπποκόμος ἐν ἱπποστασίῳ ἵππον κημῷ δεθέντα [9]) ἢ Φιμέμενον, εἰ ςομίας καὶ δύσΦιμός ἐςι, ξυςίδι καταψᾷ, τῷ γενίῳ ςρώννυσι, τῷ βρώμῳ, (ἀκροσπέλῳ) λικμητηρίδι λικμηθέντι [10]) τρέΦει τε καὶ ποτίζει.

451. Ὁ ἱππεὺς ἐπ' ἐΦιππίε καθίζων, ἀναβολεῦσι ςηριζόμενος, τοῖς πλέκτροις τὸ ἱππάριον κεντεῖ, τῷ ἰθυντῆρι, τῇ ἡνίᾳ, τῷ σιελιςηρίῳ καὶ ἐπιςομίδι, ὡς εὐάρισον αὐτῷ, χαλιναγωγεῖ.

452. Τὸ προσερνίδιον, ὑπερὶς, ἐπινώτιον, χαλινὸς (ψάλλιον,) ςόμιον, Φάλαρα, κόσμος ἵππων.

453. Ὁ ὑποσειςικὸς τὸν ἱππέα σείει, ὁ εὔδρομος τριποδίζει, ὁ βηματίζων Φοράδην βαδίζει, ἐδ' ὀλισθαίνει, (πταίει).

454. Ὁ ἡνιοχεὺς πάριππον τῷ ἐπισεσαγμένῳ [11]) συζεύγνυσι, τὲς πρόσθεν πρὸ ἑαυτε ἐλαύνει.

455. Οἱ πάνυ (δυνάςαι) ἐξίππῳ, λαμπήναις, πορείοις, οἱ πολλοὶ (δημοτικοὶ) τεθρίππῳ, δίΦροις, ῥηδίοις χρῶνται [12]).

456. Τὰ βάρη ἀμάξαις, ἑλκήθροις, οἱ ἀσθενεντες [13]) Φορείοις, οἱ τρυΦῶντες [14]) ἀνακλιντηρίοις ὀχενται [15]).

457. Ἅμαξα ἄξονας ἔχει, ἃς δεῖ αἴρειν ἀναΦορεῖ τε ...ρίεσθαι, τροχὰς, χοινικίδας, κνημίας δώδεκα ἀψίδας ...αὶ κάνθες ἕξ, τῷ δὲ ἄξονι ὁ ἐπίβολος ἐπιβάλλεται.

458. Τῷ ἐσχάτῳ τε ῥύμε, αἱ ἀλύσεις ἢ ἱμάντες, τῶν ...κίων ἐκκρεμάμενοι, ἐΦάπτονται· ὄπισθεν ἡ τροχοπέδη (ἐποχλεὺς) τὸ ἅρμα ἐν ἀποκρήμνῳ καταβάσει κα...χεσα ἀποδεσμεῖται [16]).

459. Τῆς ὁδε μὴ χρὴ ἐξίςασθαι [17]), (ἐξιχνεῖσθαι [18]), ...γὰρ ἅμαξαι ἐν ταῖς ἁρματοτροχίαις ἑλκόμεναι ῥᾷον ...ρονται.

9) δέω. 10) λικμάω. 11) ἐπιςάττω. 12) χράω. 13) ἀσθενέω. 14) ...Φάω. 15) ὀχέω. 16) ἀποδεσμέω. 17) ἐξίςημι. 18) ἐξιχνεῦμαι.

Digitized by Google

460. Αἱ ἀστράβαι (σάγματα) τοῖς ἵπποις ἢ ἡμιόνοις ἐπιτίθενται [19]) τοῦ τὰς ἀποσκευὰς δι᾽ ἀποῤῥώγων [20]) καὶ ἀβάτων τόπων κομίσαι [21]).

461. Οἱ ἀχθοφόροι ἢ ὤμοις, ἢ φερέτρῳ, ἢ ἱμάντι τὰ βάρη αἴρουσιν, ἢ μονοτρόχῳ διωθίζουσι.

XLIII. Περὶ τῆς ναυτιλίας.

462. Ἐκ τῶν μεταποντίων ἔνια φορτία οἱ ναῦται προσκομίσοντες διὰ τοῦ ναυαγοῦ πελάγους πλέουσιν, (ἰσιοδρομοῦσιν [22]).

463. Ὁ ναύκληρος τῷ πηδαλίῳ προσκαθιζόμενος τὸ ἐφόλκαιον κυβερνᾷ· ὁ ναύαρχος ἄρχει· οἱ ναῦται ἀσχολούμενοι [23]) ἐπὶ τῶν καταστρωμάτων, καὶ τῶν τοῦ πλοίου παρόδων διατρέχουσι, τὰ ἱστία, οἷον ἀρτεμῶνα, θωράκιον, ἐπίδρομον, τῇ κεραίᾳ ἐφάπτουσι, καὶ πρὸς ἄμφω τὰ κέρατα σχοίνοις διὰ τοῦ καρχησίου διεκβαλλομένοις ἀνέλκουσιν, ἢ ὑφιέντες [24]) συστέλλουσιν· ἄλλοι ἐπίδρομον ἐν πρύμνῃ, δόλωνα ἐν πρώρᾳ, τὰ δὲ ἀπλούστρια ἐν τῇ τοῦ ἱστοῦ κορυφῇ ἐκπεταννύουσι.

464. Μαλακίας οὔσης ναυτίλλεσθαι οὐ δυνατὸν, εἰ μὴ πρόσκωποι καθίζοντες ἐπὶ τῶν σελμάτων, ἐν τοῖς σκαλμοῖς ἐρέσσωσιν, ἢ ἑλκυστῆρες ῥυμουλκῶσιν [25]), ἢ κόντοις τὴν ναῦν ἀπὸ βραχέων [26]) καὶ σκοπέλων ἀπωθίσωσι [27])· κελευστὴς δὲ τούτους ἅπαντας ὀφείλει ἐποτρύνειν.

465. Τούτοις γὰρ ἐμπεσόντες [28]) κινδυνεύουσι [29]) ναυαγεῖν, ἂν μὴ, εἰ ἐπάναγκες, ἐκβολὴν ποιῶσι [30])· διὰ τοῦτο βολίδι βυθὸν διερευνῶσι [31]), τὴν ναυαγίαν ἐκφυγεῖν [32]) σπουδάζοντες.

466. Πνεύματος οὐκ ἐπιφόρου ὄντος, πλαγιάζειν τὴν ὀθόνην, ἢ ῥυμουλκεῖν, ἀέλλης ἀνισαμένης [33]), ἵνα μὴ ναῦς ἀπὸ τρικυμίας ἀποφέρηται, ἀγκυροῦν [34]) αὐτὴν δεήσει [35]), καὶ οὕτως ἀκινδύνως κυμαίνεται.

467. Τὸ πρῶτον πελαγίζων ὁλκάδι ἢ κελητίῳ ἢ λέμβῳ, ὡς ἐπὶ πολὺ, τῆς θαλάσσης δυσχειμέρου οὔσης, ναυτιᾷ.

19) ἐπιτίθημι. 20) ἀποῤῥώξ. 21) κομίζω. 22) ἰσιοδρομέω. 23) ἀσχολοῦμαι. 24) ὑφίημι. 25) ῥυμουλκέω. 26) βραχέα. 27) ἀπωθίζω. 28) ἐμπίπτω. 29) κινδυνεύω. 30) ποιέω. 31) διερευνάω. 32) ἐκφεύγω. 33) ἀνίστημι. 34) ἀγκυρόω. 35) δεῖ.

468. Τὸ πλοῖον κενὸν, μάλιςα εὔπορός τις πλάτη, ἐπ' ἀσφαλείᾳ τοῦ δρόμου ἑρματίζεται, γόμου ὑπερπιμπλάμενον [36]) καταδύεται.

469. Τοῦ πλοίου ὑποσάπρου ὄντος, (διαχαίνοντος,) ὕδωρ διὰ ῥαγάδων εἰς τὴν τρόπιν εἰσρεῖ, ὃ χρὴ ἐξαντλεῖν ἀντλίᾳ, εἶτα τοὺς ναυπηγοὺς δεήσει [37]) τοῦ πλοίου εἰς γῆν ὁλκοῖς ἀνηγμένου [38]) ἁρμονίας καὶ συναφὰς ςύπῃ ἢ μνίῳ (ἰούλῳ) πακτοῦν [39]) τε καὶ πιττοῦν [40]).

470. Τῆς ναυτιλίας ἐκτελεσθείσης [41]) αὐτίκα πρὸς γῆν ὁρμητέον [42]) ἢ ναύςαθμον ζητητέον [43]) ἐςίν.

471. Ἐν πλοΐμοις ποταμοῖς χρεία σχεδὸν οὐδεμία [44]) τριήρων, λιβυρνικῶν, φορτηγῶν, ἀλλ' ὡς πολὺ μονοξύλων, σκαφιδίων, ἀκατίων, φασήλων καὶ σχεδιῶν.

472. Ὅπου πόρος οὐκ ἔςι, τῷ πορθμείῳ ποταμὸν διαπερατέον [45]) ἐςίν· ὁ τόπος πορθμὸς λέγεται· ὁ δὲ πορθμεὺς ναῦλον αἰτεῖ.

473. Ἀλλαχόθι μὲν γέφυραι λίθιναι, ξύλιναι, ἐπικρεμεῖς (κρεμασαὶ) καὶ γεφυρίδια κατασκευάζονται.

474. Οἱ δύται εἰς βυθὸν ἑαυτοὺς ἐφιέντες [46]) τὰ ὑποβρύχια ἀνερευνῶσι [47]).

XLIV. Περὶ τῆς κατὰ γῆν πορείας.

475. Τὸν ὁδοιπόρον δεῖ ἄνευ περιοδείας εὐθυπορεῖν.

476. Τῆς ἀτραποῦ χάριν, ἐμπείρου μὴ παρόντος ὁδηγοῦ, χρὴ τῆς ὁδοῦ παρατρέπεσθαι.

477. Ὁ τὰ ἄβατα καὶ δυσχωρίας φοβούμενος [48]), μὴ κπατείτω [49]).

478. Ἡ δίοδος, τρίοδος, ἀπατηλὴ, ὅπως οὖν τῆς ὁδοῦ μὴ ιαμάρτης [50]), τοὺς ἀπαντῶντας [51]) ἐρώτα [52]) ποῖ χρὴ ιαδίζειν, τῇ μὲν, ἢ τῇδε, πρόσω ἢ ὀπίσω, εἰς δεξιὰ ἢ ρισερά.

479. Ἡ τρίβος καὶ τὰ ἄμφοδα οὐχ οὕτως ἀπατηλά.

480. Ὅπως ἄνευ ἑρμηνέως ξενίζεσθαι δύναιο [53]), λώττας μάνθανε.

36) ὑπερπίμπλημι. 37) δεῖ. 38) ἀνάγω. 39) πακτόω. 40) πιττόω.) ἐκτελέω. 42) ὁρμάω. 43) ζητέω. 44) οὐδείς. 45) διαπεράω. 46) ημι. 47) ἀνερευνάω. 48) φοβοῦμαι. 49) ἐκπατέω. 50) διαμαρτάνω.) ἀπαντάω. 52) ἐρωτάω. 53) δύναμαι.

Digitized by Google

481. Τῷ ἀποδημήσοντι ἁρμοστὰ ταῦτα· πηλοβατίδες, πέτασος, (σκιάδιον,) ῥηνὼν, κατωνάκης, διφθέρα ἐξ ἐρίου πηκτὴ, τρίβων, βακτηρία πρὸς ὑποστήριγμα.

482. Καί γε μὴν ἐφοδίου πρὸς τὰς εἰς πορείαν δαπάνας, ἢ κολλύβου παρὰ κολλυβιστοῦ χρείαν ἔχει.

483. Οὐδέν γ' ἧττον μεγάλης ὑπομονῆς· θαμὰ γὰρ αἰθριοκοιτέον ἐστίν.

484. Ὅπου ποτὲ γῆς ἂν ᾖς [54]), σκέπτου, τί λάθρα πράττεται.

485. Ἐν πορείαις γὰρ ἅπαντα ἄπιστα καὶ ἐπισφαλῆ· οἱ λησταὶ ὁδοιδοκοῦντες [55]) ἀποσφάττουσιν· οἱ ὁδοιδόκοι τοὺς ξενιτεύοντας λωποδυτοῦσιν· οἱ πειραταὶ αὐτοὺς ἀνδραποδίζουσι· Φρόντιζε, μὴ τοιούτοις ἁρπαξιβίοις ἐμπέσῃς [56])· οὐδὲ πάντως ἀσφαλῆ τὰ ξενοδοχεῖα καὶ καπηλεῖα· ὁ ξένος (καταλύτης) παρὰ τῷ ξενοδόχῳ ἀκινδύνως ἀεὶ οὐκ ἔχει.

486. Ὅπως τὰ πρὸς ὁδοιπορίαν ἐπιτήδεια συσκευασάμενος [57]) δύναιο εὐφόρως βαστάζειν, εὔχρηστα τάδε· σάκκιον, πήρα, ἱπποπήρα, ἀσκοπήρα, μαρσίπιον, ἀργυροθήκη, κόλπος.

487. Εὐσκεύει [58]), ἵνα εὐκολώτερον πορεύῃ [59])· αἱ ἀποσκευαὶ ἐμποδών εἰσιν.

488. Ὅπου χρὴ σπεύδειν, δρομικοῖς, κέλησι καὶ παρόχοις ἵπποις χρηστέον [60]) ἐστίν.

489. Οἴκαδέ σε ἐξ ἀλλοδαπῆς ἐπανελθόντα [61]) σῶον, ἀνόσητον, εὔρωστον, οἱ ἐπιτήδειοι περιχαρεῖς ἐκδέξονται [62]).

XLV. Περὶ τῆς ἐμπορίας.

490. Οἱ ἐμπορίαν ἐμπορευόμενοι (ἐργαζόμενοι) ἀλλαχόθεν προσενέγκαντες [63]) τὰ ἐμπορεύματα οὐκ ἄνευ κέρδους αὐτὰ ἐπ' ἀργυρίῳ καταλλάττονται· τίς ἀκερδῶς καὶ ἐπιζημίως πραγματεύεσθαι προαιροῖτο [64]);

491. Ἐν ἐμπορίοις πλεῖσταί τε καὶ μεγάλαι [65]) συναλλαγαὶ, κατὰ πόλεις δὲ ἀγοραὶ δημοτελεῖς, καὶ παντοπολίαι ἐτήσιαι γίνονται· ἡ μονοπωλία οὐδαμῶς κοινωφελὴς, μᾶλλον δὲ τοῖς αὐτόθεν (κατοίκοις) ἀνιαρά ἐστιν.

54) εἰμί. 55) ὁδοιδοκέω. 56) ἐμπίπτω. 57) συσκευάζω. 58) εὐσκευέω. 59) πορεύομαι. 60) χράω. 61) ἐπανέρχομαι. 62) ἐκδέχομαι. 63) προσφέρω. 64) προαιροῦμαι. 65) μέγας.

Digitized by Google

492. Οἱ προπῶλαι, παλιγκάπηλοι, γρυτάριοι, γελγοπῶλαι, ἀγύρται περιαγοραῖοι γρυτάρια καὶ ῥῶπον καταπιπράσκοντες, ἔμποροι προσαγορεύεσθαι ἀξιοῦσι 66)· καὶ τί μή; πανταχοῦ τὰ ἀγοράσματα πέρναται, (ἀπεμπολεῖται).

493. Τὰ ὤνια ἐν πωλητηρίῳ ὁ πώλης προτιθεὶς 67) διατιμᾷ, ὁ δὲ ὠνητὴς ὑπερθεματίζει, ἕως ἂν τὸ συνάλλαγμα γένοιτο 68).

494. Ὁ ὠνούμενος 69), ὅπως μὴ ὑπὸ τῶν τιμιοπωλῶν νοσφίζοιτο, τὸ νόμισμα χρυσοῦν, ἀργυροῦν, χάλκειον, καὶ τὴν ἀξίαν αὐτοῦ γινωσκέτω, οἷον ὀβόλου, ἡμιοβόλου, ἡμιασσαρίου, ἀσσαρίου, γροσσοῦ, δηναρίου, Φλωρηνοῦ, θαληροῦ, σκουτατοῦ, κορωνατοῦ.

495. Οὐδὲ τὴν παλαιὰν τιμὴν σαφῶς μαθεῖν 70) σπουδάζων ἀγνοείτω 71), τάλαντον Ἀττικὸν ἑξήκοντα μνῶν 72), μνᾶν ἑκατὸν δραχμῶν, ἢ τετρακοσίων σεσερτίων, τοῦτον δὲ δυοῖν κρουκιγεροῖν ὡσεὶ κατὰ τὸ ἡμέτερον νόμισμα εἶναι.

496. Σιτοδείας (σπανοσιτείας) ἐμπεσούσης 73), ὁ σῖτος βαρυτιμεῖται, ἡ δὲ τιμὴ αὐτοῦ ἐπ' ἔλαττον βαδίζει, εὐωνίας οὔσης· οὐδὲν δὲ, φασὶ 74), πλείονος, ἢ τὸ ὤνιον εὐχῶν, ἐστί.

XLVI. Περὶ τῆς ἱματουργικῆς.

497. Τὸ λῖνον, κάνναβίς τε ἐν ὑδροδόκοις ἐναποβρέχεται, ξηραίνεται, συντρίβεται, ξαίνεται κτενὶ ξαντικῷ, σκόλλυός τε καὶ σύπης κεχωρισμένης 75).

498. Αἱ χερνήτεις κλῶσμα ἀτράκτῳ περιδέουσαι, πηνίον κατάγουσι, κατακλώθουσι τῷ κλωστῆρι ἢ εἰλακάτη σφόνδυλον ἐχούσῃ.

499. Ἐκ ῥόμβου αἱ ἀγαθίδες συνάγονται, μηρύονται, καὶ ἱστὸς γίνεται.

500. Ὁ ὑφαντὴς τοὺς ὑποβάτας (διεσμιλευμένα 76) δύο δοκίδια) παραλλήλως ἀμείβοντας τοῖς ποσὶ καταπιέζει, τῷ στήμονι τὴν κρόκην ἐνυφαίνει, καὶ σινδῶνα (κάρβασον) ποιεῖ· οὗτος ἠλιουμένος 77), λευκαίνεται.

66) ἀξιόω. 67) προτίθημι. 68) γίνομαι. 69) ὠνέω. 70) μανθάνω. 71) ἀγνοέω. 72) μνᾶ. 73) ἐμπίπτω. 74) φημί. 75) χωρίζω. 76) διασμιλεύω. 77) ἡλιόω.

501. Βίλιξ παρυφὴν διπλῆν [78]), τρίλιξ τριπλῆν [79]) αἰτεῖ.

502. Ταυτὸν σχεδὸν ἐν ταλασιεργίᾳ τεχνικωτέρᾳ ἴση συμβαίνει.

503. Τὸ ἔριον ὑπὸ τοῦ ταλασιεργοῦ ποκάζεται, ὑπ' εἰροκόμου πεκτεῖται [80]), πέκεται, ὑπὸ καταγούσης [81]) καὶ χερσήτιος νήθεται, ὑφαίνεται, καὶ οὕτω ῥάκος γίνεται· ὁ γναφεὺς ἐμπιλεῖ τε καὶ πυκνοῖ [82]), ὁ βαφεὺς ἐν λέβητι ἢ βαθύχρῳ [83]), ἢ ἐξιτήλῳ, ἢ δευσοποιῷ χρώματι, ἢ εὐαγεῖ καὶ ἀκρατεῖ βάπτει.

504. Ὁ ἀκέσης τῇ τομίδι τέμνει, τῇ βελόνῃ καὶ δακτυλήθρᾳ ῥάπτει, ἵνα αἱ ῥαφαὶ μὴ ἐμφανεῖς ὦσιν [84]), ἐῤῥαμμένα [85]) διαῤῥηγνύει, ἀναῤῥάπτει καὶ συμπλέκει.

505. Οἱ ἐπισκευασταὶ τὰ καττύματα μετασκευάζουσιν· οἱ ἐσθητοπῶλαι αὐτὰ πωλοῦσιν· οἱ κομμωταὶ αὐτὰ μετασχηματίζουσιν.

506. Ὁ σκυτοδέψης τὸ σκύτος στακτῇ δεύει, ὁ σκυτοτόμος ἐξ αὐτοῦ ὑποδύματα ἐν σκυτοτομείῳ πρὸς μέτρον τοῦ καλτικίου, τῷ ὀπητίῳ καὶ νήματι πισσοκωνήτῳ συῤῥάπτει.

507. Ὁ διφθεροποιὸς δερμάτων διφθέρας καὶ ἔμποιμνα εἵματα κατασκευάζει.

508. Ὁ βυρσοδέψης τὸ σκύτος παρέχει· πάντες δὲ τοιοῦτοι σκωπτόμενοι βυρσοποιοὶ λέγονται.

XLVII. Περὶ ποικίλων εἰδῶν τῶν ἐσθημάτων.

509. Ἡ ἐσθὴς τοῖς ἐκ παραδείσου ἐκβληθεῖσι [86]) πρὸς τὸ τῆς γυμνότητος σκέπασμα δοθεῖσα [87]), ὑπὸ ποικιλτοῦ μαψιδίως χρυσῷ καὶ μαργαρίταις παρυφωμένη [88]), τῇ ὑπερηφανείᾳ ὑπηρετεῖ.

510. Βάρος ἐστὶ καὶ τριβὴ, ἣν τοσαυτάκις δεῖ ἐνδύσασθαί τε καὶ ἐκδύσασθαι [90]).

511. Οἱ μὲν ἐσθῆτι πλατείᾳ [91]), οἱ δὲ στενῇ, ποικιλτῇ, κροσσοῖς ἢ παραιρήμασι κεκοσμημένῃ [92]) χαίρουσιν.

512. Αἱ ἐσθῆτες πενθικαὶ ἡ ἐπωμίς, κάλυπτρα, πέπλον· ἀνδρικαὶ θώραξ χειριδωτὸς, κολόβιον, μηροδέται,

78) διπλόος. 79) τριπλόος. 80) πεκτέω. 81) κατάγουσα. 82) πυκνόω. 83) βαθύχρους. 84) εἰμί. 85) ῥάπτω. 86) ἐκβάλλω. 87) δίδωμι. 88) παρυφαίνω. 89) ἐνδύομαι. 90) ἐκδύομαι. 91) πλατύς. 92) κοσμέω.

λεαὶ, τήβεννα ποδήρης, σπεῖρον, χλαῖνα· χλαμὺς, ος, (περιθωρακίδιον,) χρυσοῦφὴς τήβεννα, ςρατιωκή.
13. Γυναικεῖαι· ἀμπεχόνιον, (ςολὴ πτυχώδης,) πέ- ς, κυκλὰς, ςηθόδεσμον, ταινία, περιζώνιον, ἄμπυξ, ρύφαλος, τιάρα.
14. Κοιναὶ ἑκατέροις· θέριςρον, ἐχέσαρκον, χιτώ- , ὑποδύτης, πίλος, θολία, τιάρα, χιτῶνες, χειροθή- περισκελίδες, ὑποδήματα ἔχοντα κάττυμα, περιεί- α, ἱμάντας, καλοπόδιον, κρηπῖδες, σανδάλια Φελλῷ .ακὰ, κόθορνοι ἐμβάδες, ὑποδήματα τραγικὰ, καλο- ια σεσιδηρωμένα[93]), οἷς τάχει θαυμαςῷ ποσὶν ἀκάμ- ις ἀνὰ κρύςαλλον Φέρονται.
15. Ἅπαντα προσηκόντως βελόναις, ὄγκοις, σπιν- σιν, ἀγκτῆρσι, σΦαιριδίοις συνάπτεται.
16. Ζωςῆρι ἡμᾶς ζωννύομέν τε καὶ ἀποζωννύομεν, κιρωτῆρσι δυσλύτως πλεγματεύομεν, (κοσύμβῳ ἐγ- βϐμεν[94]) καὶ ἀναλύομεν.
17. Τὸ ἀμπεχόνιον περικείμενοι κοσμέμεθα[95]).
18. Ὁ κόσμος προσίθεται[96]), κάλλυντρα, οἷς ϐλαὶ δέονται, ἀπόδεσμοι, ταινίαι, κροσσοὶ, παραιρήματα, πεζίδες.
19. Δακτύλιοι, ἑλικτῆρες, ὅρμοι, περιδέραια, ψάλ- , ἐνώτια, ἐλλόβια, ςαλάγμια, χρυσϐργῶν ἔργα, ῥινό- ιτρα, καψιδρώτια.
20. Ἄβολλα, χείμαςρον, ναυτῶν, ῥαπτὸν πενήτων ,· οἱ ἐν ἀγρῷ διάγοντες ῥάκιον εὐτελὲς ἀμπέχονται ῥαΦθὲν[97]) ἐξ ἐπιβλημάτων καὶ ἐπιῤῥαμμάτων.
21. Ἡ γυναικωνῖτις κόσμον, αἱ οἰκοδέσποιναι ἀμΦι- ιϐς ἔχϐσι.

XLVIII. Περὶ τῆς ἀρχιτεκτονικῆς.

22. Ἐν ἀρχῇ ᾤκϐν[98]) ἐν σπυλαίαις, (κοιλώμασι,) ηναῖς, (σκηνώμασι,) καλύβαις, καλιάσι· νῦν δὲ ἁπαν- χόθι τῆς γῆς σχεδὸν τὰ τρίςεγα Φαίνεται.
23. Ταῦτα ἐνιαχϐ ὑψηλὰ, ἄλλῃ ποι ταπεινά ἐςιν.
24. Ἐν μικρᾷ καλιάδι τίς ἂν ἀσμένως οἰκοῖ[99]);

[93]) σιδηρόω. 94) ἐγκομβόω. 95) κοσμέω. 96) προςίθημι. 97) συῤῥά- ω. 98) οἰκέω. 99) οἰκέω.

525. Τεκτόναρχος (ἀρχιτέκτων) ὑποθεὶς [100]) θεμέλια, συνεργȣ́ντων τεκτόνων, καὶ πελέκει, σφυραῖς, ῥαιςῆρσι χρωμένων [1]) οἰκοδομεῖ.

526. Ὁ τοιχοποιὸς ἐκ χάλικος ὑπὸ λιθȣργȣ̃ καὶ κονιατȣ̃ σκαφείῳ παρασκευασθέντος [2]) πλίνθων ἐν γυψȣ̃ καμίνῳ ὀπτῶν κειμένων ἐν συςάσει κατὰ τὴν κάθετον, καὶ κονίας ὕδατι πεφυραμένης [3]), λευκώματι, ἀλείμματι, κονιάματι, ξυλώσει, (ἔργοις ξυλοφράκτοις,) τοῖχον περιβάλλων τοιχοῖ [4]).

527. Ὁ ὑλȣργὸς δοκὸν ἀγκτῆρσι σιδηροῖς ἐμπεδȣμένην [5]) τῇ ῥυκάνῃ ξύει, καὶ πελεκίζει πρὸς ςαθμὴν κρητωτὴν ἢ μεμιλτωμένην [6]), σκινδαλμῶν καὶ πελεκυσμάτων ἀποπηδώντων [7]), τρυπάνῳ τρυπᾷ, τροχαλίᾳ ἀνέλκει, τοίχȣς λαβαῖς σιδηραῖς συνάπτει, τῶν ἥλων τȣ̀ς διεςραμμένȣς [8]) τῇ λαβίδι ὀδοντωτῇ ἐξέλκει, τοίχȣς ἡμιεῤῥαγεῖς καὶ πτωσίμȣς (χαμαιῤῥεπεῖς) ἀνανεȣ̃ται [9]).

528. Τὰ δένδρα ἵνα μὴ σαπρὰ γένηται [10]), κατὰ πανσέληνον τμητέον [11]) ἐςίν.

529. Ὁ ξυλοτόμος τὰ δένδρα τέμνων καὶ καταβάλλων πριςῆρι, τȣ̃ ῥινήματος εἰς γῆν καταπίπτοντος, πρίζει, σφυρᾷ ξυλίνῃ σφηνοῖ [12]), τὰ δὲ ξύλα σχιςὰ καὶ τὰς ἀγκαλίδας φρυγανικῶν συντίθησιν [13]).

530. Ὁ κιςοποιὸς σανίδας σκεπάρνῳ πελεκᾷ [14]), περόναις ἑνοῖ [15]) κόλλᾳ κολλᾷ [16]), τῷ κόμμι τηκτῷ ὑποχρίει.

531. Ὁ σιδηρεὺς (χαλκεὺς) ἐν σιδηρείῳ φύσαις φυσᾷ [17]), τὸν σίδηρον λαβιδίῳ δεδραγμένον [18]) καὶ πυρὶ μεμαλαγμένον [19]) ἐπ᾽ ἄκμονι τύπτων, ὥςε σπινθῆρας ἐξάττειν, εἰς πλόκια ἐλάσματα καὶ πέταλα ἐκτείνει.

532. Ὁ ξέςης τῇ ῥίνῃ ῥινίζει, ῥυκάνῃ ἀναξύει, καὶ λειȣργεῖ, ὥςε τὸ ἔργον ςίλβειν καὶ ἀγλαΐζεσθαι· τὸ λοιπὸν ῥίνισμα (ξέσμα) λέγεται.

533. Τȣ́τοις δεῖ τȣ̀ς χαλκοτύπȣς, κλειδȣργȣ̀ς, ἁμαξȣργȣ̀ς, χωνευτὰς, αὐτοματȣργȣ̀ς, πλινθȣργȣ̀ς, ὑαλȣργȣ̀ς, πυτινοπλόκȣς, σισυοπλόκȣς, τορευτὰς, σχοινοπλόκȣς ἐναριθμεῖν.

100) ὑποτίθημι. 1) χράω. 2) παρασκευάζω. 3) φυράω. 4) τοιχόω. 5) ἐμπεδέω. 6) μιλτόω. 7) ἀποπηδάω. 8) διαςρέφω. 9) ἀνανεόω. 10) γίνομαι. 11) τέμνω. 12) σφηνόω. 13) συντίθημι. 14) πελεκάω. 15) ἑνόω. 16) κολλάω. 17) φυσάω. 18) δράσσω. 19) μαλάττω.

534. Οἱ ἐργάται προσμισθȣ̃νται [20]) τȣ̃ τὰ βάρη τοῖς ἀναφορεῦσι βαςάζειν, μοχλίοις αἴρειν, κυλινδεῖν, καὶ φαλαγγοφορεῖν.

535. Ὁ κεραμεὺς πηλȣ̃ χύτρας, κεράμια, καλυπτῆρας, πώματα πίθων, καὶ τὰ λοιπὰ κεράμεια πλάττει.

536. Ὁ οἶκος ὑψιθέμεθλος, καλῶς οἰκοδομηθεὶς [21]), ἰσχυρῶς γεγωνιωμένος [22]) καὶ ἐςηλωμένος [23]), πολυχρόνιός ἐςιν.

537. Οὕτως δ᾽ ȣ̓κ ἔχων, ἐρείψιμον ςέγος (ἐρειπωτόν) ἐςιν.

538. Ἀναγκαῖον ȣ̃ν ἐρειπόμενον ςηρίγμασι ςηρίζειν, ἀντηρίσι καταπεπτωκότα [24]) ἀναῤῥύσασθαι [25]), καὶ παλαιὸν ἀνανεώσασθαι [26]).

539. Οἶκος μέγας εὖ, ςενὸς κακῶς οἰκεῖται [27]).

XLIX. Περὶ οἴκȣ καὶ αὐτȣ̃ μερῶν.

540. Εἰσελευσόμενος [28]) διὰ τȣ̃ προθύρȣ εἰς οἶκον, τȣ̃ μὴ τῆς θύρας ἀποπλανᾶσθαι [29]), ἐν προπυλαίῳ (προδόμῳ) ὑφίςασο [30]), τῇ ὀροφῇ προσβλέψας [31])· τȣ̃ δὲ ἐπισπάςρȣ διὰ τῆς ὀπῆς μὴ ἐκκρεμαμένȣ, ȣ̓ δυνάμενος τὴν θύραν ἀνοίγειν, τῇ κορώνῃ αὐτὴν κόπτε.

541. Προκύπτοντος τȣ̃ θυρωρȣ̃ διὰ τῶν κιγκλίδων σιδηρῶν ἢ ξυλίνων, αὐτȣ̃ δεήθητι [32]) τὴν θύραν ἀνοίγειν, φυλάττȣ δὲ, μὴ τȣ̀ς πόδας τῷ ὑποθύρῳ, ȣ̓δὲ τὴν κεφαλὴν τῷ ὑπερθύρῳ ἐπαράσσῃς· ἀμφοτέρωθι παραςάδες εἰσίν.

542. Εἰσδοχῆς τυχὼν, μοχλοῖς ἢ κατακλεῖσι τὴν θύραν πάκτȣ.

543. Τȣ̀ς ςρόφιγγας, ὅπως μὴ τρομερὸν ἠχῶσιν [33]) ἢ λίγγωσιν, ἠσυχῇ κίνει.

544. Ἐκ προαυλίȣ εἰς ἑςιατόριον, προκοίτιον, δωμάτιον, διὰ κλιμάκων [34]) ἢ κοχλιῶν εἰς τὰ ὑπερῷα εἴσοδός ἐςι.

545. Τὸ τέγος τῷ ὀροφώματι ἐπίκειται· ταῖς δοκοῖς καὶ δοκίσι οἱ κέραμοι ςρογγυλοειδεῖς, ἢ κάρφινον ςέγασμα ἐπίκειται.

20) προσμι[illegible]ω. 21) οἰκοδομέω. 22) γωνιόω. 23) ςηλόω. 24) καταπίπτω. 25) ἀ[illegible]ύω. 26) ἀνανεόω. 27) οἰκέω. 28) εἰσέρχομαι. 29) ἀποπλανῶμαι. 30) ὑφίςημι. 31) προσβλέπω. 32) δέομαι. 33) ἠχέω. 34) κλίμαξ.

546. Αἱ προσθῆκαί εἰσιν ἐκφοραὶ, γεισσώματα, προτεγίσματα, προςέγια, τριχίλαι ὀρθοςάταις ἐρειδόμεναι, προβολαὶ, κορωνίδες· ὑδραγωγίαι ὡς τὸ πολὺ ὑπȣδαῖαι.

547. Τὸ μεσαύλιον ὕπαιθρόν ἐςι· δι᾽ ὀπισθοδόμȣ ἔξοδος ἄλλοσέ ἐςι.

548. Τὸ κλεῖθρον τῇ κλειδὶ κλειδȣ̃ταί [35]) τε καὶ διοίγεται.

L. Περὶ τȣ̃ ὑποκαύςȣ.

549. Τὸ ὑπόκαυςον τῇ καμίνῳ θερμαίνεται.

550. Αἱ θυρίδες ὑάλιναι δικτυωταί εἰσι.

551. Τὸ ἔδαφος τῇ τυπάδι ἐδαφίζεται, ἢ παντοίων λίθων σύγκειται· τὸ φάτνωμα ἢ σανίδωμα, ἢ ψαλίδωμά ἐςι.

552. Τῶν χρημάτων καὶ τῶν σκευῶν ἀποθῆκαί εἰσιν· αἱ κιβωτοὶ, κίςαι, λάρνακες, ἀγγοθῆκαι, σκευοθῆκαι, καψίδια, ζύγαςρα, ῥίσκοι, κερματήρια, τάῤῥιχοι, σπυρίδες, κόφινοι, κάλαθοι, ταλαρίσκοι.

LI. Περὶ τȣ̃ δειπνωτηρίȣ.

553. Ἐπὶ τράπεζαν ὀθόνη ἐπιτραπεζίῳ ςρωτὴν κύκλοι καὶ ἀλοδοχεῖον ἐπιτίθενται [36]).

554. Ἐκ τȣ̃ φερνίȣ ἄρτος, κολλύραι, τόμοι, προσφοραὶ προσφέρονται.

555. Οἱ κεκλημένοι [37]) δαιτύμονες ὑπὸ τȣ̃ ἑςιάτορος εἰς δειπνωτήριον εἰσάγονται.

556. Λȣσάμενοι ἐκ πρόχοȣ ἢ χειρονίπτρȣ, ἢ λεκάνης, καὶ χειρομάκτρῳ ἀπομεμαγμένοι [38]) ἐπὶ θράνων ἢ ἑδρῶν [39]) ὑποπόδια ἐχȣσῶν ἀγχȣ̃ καθίζȣσιν, ἐπὶ ςιβάδων [40]) κατακλίνονται.

557. Αὐτίκα ὁ τραπεζοκόμος (δαίτωρ) τῶν σιτίων παρατεθέντων [41]) προγεύων, καὶ αὐτὰ διαμερίζων, ἕτοιμός ἐςι.

558. Ζωμὸς, πόλτος, προσφάγιον, ὑπότριμμα, κοχλιαρίῳ, τὰ δὲ λοιπὰ ἐδέσματα μαχαιρίδι καὶ δικράνοις, ὧν τὴν λαβὴν δράσσε, λαμβάνεται.

35) κλειδόω. 36) ἐπιτίθημι. 37) καλέω. 38) ἀπομάσσω. 39) ἕδρα. 40) ςιβάς. 41) παρατίθημι.

Digitized by Google

559. Οἱ ἀστεῖοι τὰ χείλη τῇ γλώσσῃ προταθείσῃ [42]) οὐ λείχουσιν, ἀλλὰ τῷ προσοψίῳ (ἐκμαγείῳ, καψιδροτίῳ, ῥινομάκτρῳ) ἀπομοργνύουσιν.

560. Οὐδὲ καταβροχθίζοντες τὴν ἔνθεσιν ἢ ἔγκαφον ἐρέπτουσι, (κάπτουσιν,) ἀλλὰ τὸ βρῶμα ἀστείως μαστάζουσι (μασῶνται [43]).

561. Αἱ μυῖαι τῇ μυιοσόβῃ ἀποσοβοῦνται [44]).

562. Ἐξ ἄβακος αἱ φιάλαι, κρατῆρες ἐπίχρυσοι, σκύφοι, κύαθοι, κυλίκια ἐνὶ ποτίσματι κευθόμενα [45]), κύλικες, ἐκπώματα ὑαλᾶ, καὶ κεραμικὰ προχειρίζονται, ἃ ἑλκόμενα καὶ καθαριζόμενα εἰς θύβην ἀποκατατίθεται [46]).

563. Τὸ ἀμφικύπελλον ποτήριον πλατύστομόν ἐστι.

564. Τότε ὁ οἰνοχόος τὸ μέθυ, ὃ ταμίας προσενέγκατο [47]), ἐκ προχοΐδος ἢ κανθάρου ἐγχεῖ, καὶ ὀρέγει· προπίνοντες δὲ ἄλλοις ἀκρατοποτοῦσι [48]), καὶ χύδην (ἐκπλέως, ἐκκεχυμένως) ματτυάζουσι.

565. Τὸ συμπόσιον περιττὸν καὶ τρυφηλὸν ματτύας, νωγαλεύματα καὶ ποικίλας προσφορὰς ἔχει, αἱ οἰκοσιτίαι εὐτελέστεραι [49]) τε καὶ λιτώτεραι εἰσιν.

566. Ἐπ᾽ ὀπτοῖς τὰ ἐμβάμματα, ῥάφανος καὶ τὰ εἰς ἀναστόμωσιν βρώματα ταριχηρὰ, οἷον ἐλαῖαι, κάππαρις, σίκυς, σεῦτλον ἐρυθραῖον, καὶ τὰ λοιπὰ τραγήματα, (ἐπίδειπνα) παρακαθίστανται [50]).

567. Τὰ ἡδύσματα δὲ καὶ ἀρτύματα κάλλιστα αἱ λέσχαι εὐόμιλοι, (εὐδιάλογοι,) παιδιὰ καὶ προσδιαλέξεις ἐπιτερπεῖς.

568. Οἱ βορώτεροι ἀκρατίζονται, ἀριστῶσι [51]), διελινοῦσιν [52])· οἱ δὲ ἑδραῖοι χειρώνακτες [53]) τοῦ διανηστισμοῦ τε καὶ προδείπνου, ἀρίστῳ καὶ δείπνῳ ἀρκούμενοι [54]), ἀπέχονται.

569. Τρὶς καθ᾽ ἡμέραν χορτάζεσθαι (βρωμάτων ἐμφορεῖσθαι [55]), διακόρως ἔχειν) πολὺ καὶ βλαβερόν ἐστι.

42) προτείνω. 43) μασῶμαι. 44) ἀποσοβέω. 45) κεύθω. 46) ἀποκατατίθημι. 47) προσφέρω. 48) ἀκρατοποτέω. 49) εὐτελής. 50) παρακαθίστημι. 51) ἀριστάω. 52) διελινύω. 53) χειρῶναξ. 54) ἀρκέω. 55) ἐμφοροῦμαι.

Digitized by Google

LII. Περὶ τοῦ κοιτῶνος.

570. Ἐν εὐναστηρίῳ τὸ λέκτρον, τὸ κλινοπόδιον, τὰ πλευρὰ τῆς κλίνης συνέχει· εὐνῆς δὲ ἐκλειπούσης, φορμὸς ἢ ῥῖπος ὑποστρώννυται.

571. Σισύραι λευκαὶ, ἐπίβλημα, ὑπαυχένιον τῇ στρωμνῇ (τῷ ὑποστρώματι) ἐπιβάλλεται.

572. Τὸ ὑποκεφάλαιον πτίλοις πιλωτόν ἐστι, τὸ ὑπόστρωμα γναφάλῳ ἢ πτίλοις ἐκτετιλμένοις [56]) ἐμβύεται.

573. Ἀναγκαῖα τῷ κοιτῶνι σκεύη ἡ οὐρητρὶς καὶ εὐμαρία.

574. Ὁ κράβατος μετὰ κωνωπείου τοῦ μεσημβριάζειν ἕνεκα παρασκευάζεται.

575. Ὁ ὕπνος ὕπτιος ἐφιάλτην, πρηνὴς ἆσθμα φέρει.

576. Ἀφυπνίσας [57]) καὶ ἐκκοιμηθεὶς [58]) ἀγρύπνει, μὴ πάλιν εἰς ὕπνον βαθύτερον ἐμπέσῃς [59]).

577. Χειμῶνος ἡ κατὰ τὸ περίορθρον σπουδὴ αἰνεῖται [60]).

LIII. Περὶ τοῦ βαλανείου καὶ τῆς καθαρότητος.

578. Ὕδατι διαυγεῖ τὸ πρόσωπον πολλάκις ἀπολούειν πρὸς καθαρότητός ἐστι, φυκοῦν [61]) δὲ αὐτὸ ῥυπαρὸν καὶ προαγωγικόν.

579. Ἐν βαλανείοις, λουτροῖς θερμοῖς ὁ ῥύπος, ἔκμαγμα, σπίλωμα, ἐν ὑποκαύστοις ἱδρῶς, τῶν πόρων ἀνεῳγμένων [62]), ἀπολούεται.

580. Αἰδοῦς [63]) δὲ χάριν ἐκεῖ περιζωνίων καὶ μηροδετῶν δεῖ.

581. Αἱ ἐσθῆτες πλύνονται σμήγματι, ἢ σαρώθρῳ εἱματικῷ σαροῦνται [64]), ἢ σπόγγῳ πολυτρήτῳ ἀπομάσσονται· τὰ δέραια λινᾶ [65]) ἀμύλῳ στύφεται.

582. Τῷ κιλικίῳ ἢ κισσηρίδι ἡμᾶς κνώμεθα [66])· τὰ σκεύη κάρφει ἢ ἱππερίδι ἀπομάσσεται, ἵνα τὸ ἐγχεόμενον μὴ ὀξίζῃ· τὰ σάρματα σαρώθρῳ ἐκβάλλεται.

56) ἐκτίλλω. 57) ἀφυπνίζω. 58) ἐκκοιμῶμαι. 59) ἐμπίπτω. 60) αἰνέω. 61) φυκόω. 62) ἀνοίγω. 63) αἰδὼς. 64) σαρόω. 65) λινοῦς. 66) κνῶμαι.

583. Ὅπου φρέατα οὐκ ἐξορύττεται, ἐξ ὧν χείλει ἢ ἄμβωνι περιβεβλημένων [67]) ὕδωρ τῷ κηλωνίῳ, ἀντλητηρίῳ ξυλίνῳ, κάλπιδι ἀντλεῖται [68]), ὑδραγωγίαι διὰ σωλήνων, διασφαγῶν καὶ διορύγων [69]) γίνονται.

584. Ὁ κουρεὺς ἐν κουρείῳ τὸ τρίχωμα τῇ τομίδι κουρίζει, (πρόπαλαι τὴν κεφαλὴν, ὥσπερ καὶ τὰ κώδια, ἀπετίλλοντο,) ἢ ξυρῷ ἀποξύει.

585. Ὁ βαλανεὺς προσέτι ἀποσκήψει (ἐγχαράξει) χρᾶται [70]).

586. Ἡ κόμη (ἔθειρα) τῶν Γερμανῶν, καὶ προκόμιον τῶν Σαρματῶν κτενὶ [71]) κτενίζεται· κίκιννος καὶ πλόκαμος καλλύντρῳ ἐνουλίζεται.

587. Τὰ χρίσματα, θυμιάματα, ῥαντίσματα, ἁπαλῶς διατεθέντων [72]) τρύφημα καὶ ἡδυπάθεια.

LIV. Περὶ τοῦ γάμου καὶ τῆς ἐπιγαμίας.

588. Ὁ γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς ἠνδρωμένης [73]) νομίμη συμβίωσις.

589. Ὁ μνηστὴρ γαμήσων παῖδά τινα ἐπίγαμον μνᾶται [74]), οὐχ οὕτως εὐειδῆ καὶ ἐπίπροικον ζητῶν, ὡς ἁγνὴν, καλῶς τεθραμμένην [75]), ἄθικτον καὶ ἀψηλάφητον· χῆρος δὲ χήραν εὑρίσκει. Τοιαύτη συζυγία ἁρμοζόντως ἔχει.

590. Ἡ προὶξ καὶ εὐμορφία ἀντεραστὰς ἐνίοτε ἐγείρουσιν.

591. Ὁ μνηστὴρ τοῦ παρθένου οὐκ ἀποτυχὼν [76]) νυμφίος, ἡ δὲ γαμουμένη [77]) νύμφη ἐστί· παρανύμφους δὲ ἔχουσι.

592. Μετὰ τὸν γάμον ἐκεῖνος πόσις, αὐτὴ δὲ γαμετὴ λέγεται, καὶ τῇ ἐφεξῆς τὰ ποτοστρόφια γίνονται.

593. Οἱ γαμίσαντες τὴν θυγατέρα ἑκυρὸς καὶ ἑκυρὰ, ὁ γαμήσας γαμβρὸς, ἡ γεγαμημένη νύμφοι, οἱ δὲ λοιποὶ ἀγχιστεῖς καὶ κατ᾽ ἐπιγαμίαν προσήκοντες λέγονται· ὁ ἀνδράδελφος τὴν ἀνδραδελφὴν ἀσπάζεται.

594. Τοῦ γάμου οὐκ ἀρεστοῦ ὄντος, ἐξῆν [78]) πάλαι τὴν γυναῖκα ἀποπέμψασθαι· πρᾶξις αὕτη ἀπόπεμψις ἐκαλεῖτο [79])· νυνὶ δὲ θάνατος καὶ μοιχεία αὐτὸν διαλύουσι.

67) περιβάλλω. 68) ἀντλέω. 69) διορύξ. 70) χράω. 71) κτείς. 72) διατίθημι. 73) ἀνδρόω. 74) μνῶμαι. 75) τρέφω. 76) ἀποτυγχάνω. 77) γαμέω. 78) ἔξεστι. 79) καλέω.

Digitized by Google

LV. Περὶ τῆς λοχείας.

595. Τὸ γένος καὶ ἡ συνουσία τῆς τεκνοποιίας αἰτία ἐστίν.

596. Ὁ ἀνὴρ ἐν ποιρῖνι (διδύμοις) τηρεῖ σπέρμα, γυνὴ δὲ ἐπίφορος ἐν γαστρὶ [80]) τὸ κύημα κυοφορεῖ· πότερος τούτων τῇ γονῇ πλεῖον συνενήνοχε [81]);

597. Γυνὴ δηλαδὴ μὴ ὠμοτοκοῦσα [82]) (ἀποκυοῦσα) ἀλλ' υἱοὺς τε καὶ θυγατέρας, διδύμους, τριδύμους τίκτουσα.

598. Τὴν τοκάδα παιδίων, τετοκυῖαν [83]) ἐξ ἑβδομάδας, κόριον δὲ δώδεκα λανθάνειν, νενόμισται [84]).

599. Ὁ πατὴρ γεννᾷ, ἡ μήτηρ ἐπίτοκος, (ὑπεψηνισμένη) ὠδίνουσα τίκτει· ἄμφω τὸ τεχθὲν [85]) τρέφουσι, φιλοῦσι [86]), καὶ ἐν κόλπῳ θάλπουσιν.

600. Ὁ μητρυιὸς καὶ ἡ μυτρυιὰ τοὺς προγόνους οὐχ οὕτως εἰλικρινῶς ἀγαπῶσιν [87]) · ἐκεῖνος γὰρ γεννήτωρ, αὕτη δὲ γεννήτειρα οὐκ ἐστι· πλείονα αὐτοὺς ἀποστεροῦσιν [88]) ἢ διδόασιν [89]) · οὐδέτερος τὸ δέον ποιεῖ.

LVI. Περὶ τῆς συγγενείας.

601. Οἱ ἐγγὺς τοῦ γένους καὶ ἀγχίσποροι ὅμαιμοι λέγονται, ἀδελφοὶ, ἀδελφαὶ, αὐτάδελφοι, ὁμογάστριοι, πάππος, τήθη.

602. Ὁ πρόπαππος, ἡ ἐπιτήθη, ἀπόπαππος, ἀπόμαμμα, παππεπίπαππος, τρίμαμμα, οἱ λοιποὶ πρόγονοι, (προπάτορες).

603. Οἱ πλάγιοι, θεῖος, πατραδελφὴ, μητράδελφος, μητροκασιγνήτη, ἀνεψιοί.

604. Ἐν τῇ κάτω τάξει εἰσὶν υἱωνὸς, υἱωνὴ, τριτέγγονος, τριτεγγόνη, μεθ' ἁπάντων ἐκγόνων, (μεταγενεστέρων).

605. Ἄπαιδες υἱοὺς ἑαυτοῖς εἰσποιοῦσι [90]) τοῦ κληρονομεῖν, ἃ δικαίως ἐκτήσαντο [91]) ἄλλοι δι' ἀπείθειαν αὐτοὺς ἀποκληροῦσιν [92]), ἀποκηρύττουσι καὶ ἀποικίζουσι.

606. Τοῖς ὀρφανοῖς καὶ ἀνήβοις ἐπίτροποι ταῖς διαθήκαις δίδονται, τοῦ τηρεῖσθαι [93]) τὰ πατρῷα, ὧν ὀψίγονοι μὲν, μηδαμῶς δὲ οἱ νοθείᾳ ἐνεχόμενοι, μετέχουσιν.

80) γαστήρ. 81) συμφέρω. 82) ὠμοτοκέω. 83) τίκτω. 84) νομίζω. 85) τίκτω. 86) φιλέω. 87) ἀγαπάω. 88) ἀποστερέω. 89) δίδωμι. 90) εἰσποιέω. 91) κτῶμαι. 92) ἀποκληρόω. 93) τηρέω.

607. Ἐκεῖνοι τὴν ἐπιτροπείαν ἀποθέντες [94]) οὐδὲ γραμματεῖα ἀποδόντες [95]), χρεωκοποῦντες [96]) ὑποπτεύονται.

608. Τῷ δὲ διαθέτῃ τὰ χρήματα διαθέσθαι [97]) ἔξεστι, καὶ διδόναι [98]) ᾧτινι ἂν βούλοιτο [99]), τὸ ἥμισυ, τὸ τρίτον, τέταρτον, ἕκτον μέρος.

LVII. Περὶ τῆς οἰκονομίας.

609. Ἡ οἰκονομικὴ διδάσκει οἰκοδεσποτεῖν τε καὶ εὐπειθεῖν.

610. Οἰκοδεσπότης, ὁ θεράποντα ἔχων, οἰκοδέσποινα, ἡ θεραπαινίδα ἔχουσα, οἰκότριψ, ἀνδράποδον οἴκοι γεγενημένον [100]), ἀπελεύθερος, οἰκέτης ἀπελευθερωθείς [1]) ἐστι.

611. Τὸ ἔργον ποιήσαντι [2]) τὸ σιτομέτριον, τὰ σιτία ἐφημέρια, ἐπιμήνια, ἐνιαύσια ὀφείλεται.

612. Τῶν παίδων τοῖς εὐπειθέσιν οἱ γονεῖς πολλὰ [3]) συγχωροῦσιν [4]), ἡ δὲ ἄγαν συγχώρησις αὐτοὺς πέρα τοῦ μέτρου αἱμύλλουσα, ὀκνηροὺς καὶ τοῦ γένους ἀναξίους ἀπεργάζεται· ὁρῶμεν [5]) τοιούτους ὁσημέραι τοῦ γένους ἐξίστασθαι [6]).

LVIII. Περὶ τῆς πόλεως.

613. Τὰς πόλεις τε καὶ τὰ φρούρια τὸ τεῖχος, τὸ χῶμα, χαράκωμα, χάρακες, πρόβολοι ὀχυροῦσι [7]).

614. Τὸ διάστημα τάφρον ἔχει, τὸ δὲ ὀπισθοτείχιον τοῖς πολίταις πορεύσιμόν ἐστι, (βάσιμον).

615. Ἡ πύλη, κλεῖθρα, δικλίδας, βλῆτρα καὶ καταῤῥάκτας ἔχει.

616. Αἱ πλατεῖαι [8]) λιθόστρωτοι ἔχουσαι ἀμφοτέρωθι συναφῆ καὶ ἐχόμενα οἰκήματα ἀγυιαὶ λέγονται· ἡ ἀγορὰ περίστυλος (περικιόνων) αἰθούσας [9]) διὰ τὰς ὁδοὺς ὑποπήλους ἔχει.

617. Οἱ στενωποὶ οὐ πόριμοί εἰσι.

94) ἀποτίθημι. 95) ἀποδίδωμι. 96) χρεωκοπέω. 97) διατίθημι. 98) δίδωμι. 99) βούλομαι. 100) γίνομαι. 1) ἀπελευθερόω. 2) ποιέω. 3) πολύς. 4) συγχωρέω. 5) ὁράω. 6) ἐξίστημι. 7) ὀχυρόω. 8) πλατύς. 9) αἴθουσα.

618. Τὰ προάϛεια πόλιν μεγεθύνει, οἱ δὲ πύργοι ἐν κορυφῇ πέταλον (ἀνεμογνώμονα) ἔχοντες, καλῶς κορυφωθέντες [10]), καὶ τειχισθέντες [11]), κοσμȣ̃σιν [12]).

619. Οὐχ ἅπαντες ἔνοικοι ἀτελεῖς, ἀλλὰ μόνον οἱ ἐγχώριοι καὶ πολῖται.

620. Τȣ́των ἔνιοι ἐν ἀτελείᾳ (ἀλειτȣ́ργητοι) διὰ προνομίȣ ἰδιάζȣσιν.

621. Οἱ ξένοι καὶ μέτοικοι ἀργύριον τελȣ̃σιν [13]).

622. Ὁ ναὸς, τὸ βȣλευτήριον, ὁπλοθήκη, ταμεῖον, σιτοβολὼν, τῆς πόλεως ὀχυρώματά ἐϛι.

623. Τὰ δὲ ἐκδοχεῖα, λάκκοι, ὡρολογεῖα, σχολαὶ εὐτακτȣ̃σαι [14]) καλῆς πολιτείας τεκμήρια ἐϛιν.

624. Ἐξόπισθεν τȣ̃ πραιτωρίȣ τὸ δεσμωτήριον, ἐν ἀποπάτοις ἀφεδρῶνές ἐϛι.

625. Τὰ πανδοχεῖα, καπηλεῖα, ὀπτανεῖα τοῖς ξένοις, τὰ ἄσυλα κακȣ́ργοις, τὰ ξενοδοχεῖα τοῖς πένησι, τὰ νοσοκομεῖα τοῖς νοσȣ̃σιν [15]) οἰκοδομεῖται [16]).

626. Βασιλικὴ οἶκος βασιλικός.

627. Σκοπὴ ἐν ὑψηλῷ τόπῳ ἔϛω, οἱ φύλακες δὲ ἀγρυπνείτωσαν [17]).

628. Οἱ γείτονες ἀλλήλοις ἀνθυπȣργήματα ὀφείλȣσι· συνήλυδες ἀλλαχόθεν συντρέχȣσι.

LIX. Περὶ τȣ̃ ναȣ̃.

629. Ὁ νεωκόρος ἠχείῳ τὸν λαὸν πρὸς τὰ ἱερὰ συγκαλεῖ.

630. Τȣ́τȣ συνεληλυθότος [18]) οἱ ψαλμῳδοὶ πρὸς τὸ πȣ́λπιτον ψάλλȣσιν, (ὑμνȣ̃σιν [19]).

631. Ὁ ἐκκλησιαϛὴς πρὸς τὸν δῆμον λόγον ἐν ἀναβάθρῳ δημηγορήσων, τὸ ἅγιον πνεῦμα ἐπικαλεῖ, τὰ θεῖα μυϛήρια ἐκ τῶν ἁγιογράφων αὐθεντικῶν διερμηνεύει, τὰς γραφὰς τῆς ἑκατέρας διαθήκης καὶ βίβλȣς κανονικὰς μᾶλλον, ἢ ἀποκρύφȣς διερμηνεύει· πρὸς μετάνοιαν ἀνθρώπȣς κατὰ τὸν δεκάλογον καλεῖ καὶ ἐποτρύνει, τȣ̀ς ἐφ' ἁμαρτίαις λυπȣμένȣς [20]) τῷ θανάτῳ Ἰησȣ̃ ϛαυρωθέντος [21]) παραμυθȣ́μενος [22]) εὐαγγελίζεται, καὶ

10) κορυφόω. 11) τειχίζω. 12) κοσμέω. 13) τελέω. 14) εὐτακτέω. 15) νοσέω. 16) οἰκοδομέω. 17) ἀγρυπνέω. 18) συνέρχομαι. 19) ὑμνέω. 20) λυπέω. 21) ϛαυρόω. 22) παραμυθȣ̃μαι.

οὕτως ὁ λαὸς θρησκείαν καθολικὴν ὀρθῶς κατηχεῖται [23]).

632. Μετὰ τὰς εὐχὰς τὰς ἑορτὰς κηρύσσων τὸν λαὸν τοσούτῳ προσφιλέστερον [24]), ὥσπερ πολυανθρωπότερος γέγονεν [25]), ἀφίησιν.

633. Ἐνίοτε τοὺς νέους κατηχεῖ, ἐν βαπτιστηρίῳ βαπτίζει, ἐνίοτε ἐξορκίζων τὰ πνεύματα ἀκάθαρτα, καὶ τὴν ἀπόῤῥητον τελετὴν ἱερουργεῖ.

634. Τὰς ἁμαρτίας τοῖς μετανοοῦσιν [26]) ἀφίησι, τῆς δὲ μυσταγωγίας τοὺς ἀμετανοήτους ἀπείργει· τοὺς ὑποκριτὰς τῇ ἑαυτῶν συνειδήσει ἐπιτρέπει.

635. Αἱ ἑορτάσιμοι ἡμέραι, οἷον ἐγκαίνια, ἐνιαύσια κομπιτάλια, ἑορταστικῶς δυσί, τρισίν, ὀκτὼ ἡμέραις ἑορτάζονται.

636. Οἱ ἱερατικοὶ θεσμοὶ τῆς χειροτονίας τῶν τελουμένων [27]) εἰς ἱερέας ποικίλοι· ἀνομοιότης δὲ ἀβλαβὴς ἐν ἀδιαφόροις ἐστί.

LX. Περὶ τῆς ἐκκλησίας.

637. Ὁ λειτουργὸς νομίμως αἱρεθεὶς τῆς ἑαυτοῦ παροικίας ἐπόπτης, τούτου δὲ ἔφορος ὅλης τῆς διοικήσεως ἐπίσκοπός ἐστιν.

638. Οἱ προστάται, ἀρχιμανδρῖται, ἁρμοστῆρες, κοινοβιάρχαι τῶν μονάχων, ἱερίδες τῶν ἀσκητριῶν προΐστανται· οἱ διάκονοι τῶν ἐλεημοσυνῶν φροντίζουσιν.

639. Αἱ ἀπαρχαὶ καὶ δεκάται τοῖς ἱερεῦσιν ὀφείλονται· οἱ ἀναχωρῆται ἐρημάζουσιν.

640. Οἱ ἀρχιεπίσκοποι καὶ οἱ ὀρθόδοξοι μυσταγωγοὶ ἐν ταῖς συνόδοις τὰς αἱρέσεις ἀναιροῦσι [28]), τοὺς αἱρετικοὺς βλασφήμους, ἑτεροδόξους, ἀποστάτας ἀποσυναγώγους καθιστᾶσι [29]), τὸν τῆς διδαχῆς ἀληθείας [30]) κανόνα βεβαιοῦσι [31]), τὸν χριστιανισμὸν δὲ βιασμῷ οὐ σπουδάζουσι διασπείρειν. Τὸ γὰρ βιαστικὸν ἀθεότητος, ὑποκρίσεως, μαρτυριῶν ἀφορμὴν μεγίστην δίδωσι.

23) κατηχέω. 24) προσφιλής. 25) γίνομαι. 26) μετανοέω. 27) τελέω. 28) ἀναιρέω. 29) καθίστημι. 30) ἀληθής. 31) βεβαιόω.

Digitized by Google

LXI. Περὶ τῆς τῶν ἐθνικῶν τε καὶ Ἰουδαίων ἐθελοθρησκείας.

641. Οἱ ἐθνικοὶ ἱερεῖς ἐν νεωκορίοις τε καὶ ἄλσεσι ἐπὶ βωμῶν τοῖς θεοῖς ζῶα ἱέρευον, θυσίας ἔθυον, λίβανον ἔσπενδον, περιῤῥαντικῷ ὕδατι ἡγνίζοντο [32]), εἰδωλολάτρουν [33]), καθάρσια ἐξετέλουν [34]), ἅπαντα μιαρά.

642. Τὸ ἔξω τοῦ ναοῦ ἀνίερον, μὴ καθιερούμενον [35]), τὸ δὲ ἔσω ἱερὸν ἡγοῦντο [36]).

643. Ὁ ἱεροφάντης μιτροφόρος εἰς ἄδυτον εἰσέδυ [37]), οἱ ἱερουργοὶ ἐπὶ θυμιατηρίου (λιβανωτοῦ) θυμιῶντες [38]), κυμβάλοις, κροτάλοις, κώδωσιν ἐκωδώνιζον.

644. Οἱ μάντεις αὐτῶν ἐμαντεύοντο ἐνθουσιῶντες [39]), τὰ μέλλοντα οὐ θεοφορηθέντες [40]), ὥσπερ οἱ προφῆται τῶν Ἰουδαίων, ἀλλ' οἰωνιζόμενοι, σπλαγχνοσκοποῦντες [41]), κληρούμενοι [42]) ἐθέσπιζον· ἐντεῦθεν οἰωνισαὶ, σπλαγχνοσκόποι, κληρωταὶ.

645. Διὰ ταύτην τὴν αἰτίαν τὸ θεσπίζειν οἰωνίζεσθαι ἔλεγον.

646. Εἶχον [43]) δὲ χρησμοὺς ψευδεῖς τῶν κακοδαιμόνων.

647. Τοὺς ἥρωας καὶ ἡρωΐνας τοῖς οὐρανίδαις ἐνηρίθμουν [44]), ἀναθεματίζοντες καὶ κτείνοντες τοὺς τῆς θρησκείας ταύτης καταγελῶντας.

648. Οἱ Ἰουδαῖοι ἐν συναγωγαῖς ἑαυτῶν τὴν ἀκροβυσίαν περιτεμνόμενοι σαββάτου ἡσυχάζουσι, Χρισὸν δεινῶς βλασφημοῦσιν [45]), (αἴσχισα [46]) ἀγορεύουσιν) οἱ πάλαι ἀναβαπτισαὶ καὶ οἱ λοιποὶ ῥᾳδιουργοὶ, ἐνθουσιασαὶ γεγόνασι [47]).

LXII. Περὶ τοῦ βουλευτηρίου.

649. Ἐν τῷ βουλευτηρίῳ ἡ βουλὴ (γερουσία) συνεληλυθυῖα [48]) περὶ τῶν κοινῇ συμφερόντων βουλεύεται.

650. Ἐκεῖ τὸ λεύκωμα, τὰ γράμματα δημόσια, καὶ ὑπομνήματα τηρεῖται [49]).

32) ἁγνίζομαι. 33) εἰδωλολατρέω. 34) ἐκτελέω. 35) καθιερόω. 36) ἡγοῦμαι. 37) εἰσδύνω. 38) θυμιάω. 39) ἐνθουσιάω. 40) θεοφοροῦμαι. 41) σπλαγχνοσκοπέω. 42) κληροῦμαι. 43) ἔχω. 44) ἐναριθμέω. 45) βλασφημέω. 46) αἰσχρὸς. 47) γίνομαι. 48) συνέρχομαι. 49) τηρέω.

Digitized by Google

651. Ὁ ὕπατος, ἀνθύπατος, τὰ βουλευτὰ προτίθησιν, οἱ βουλευταὶ αὐτὰ ψηφίζονται· οἱ χαμαιδικασαὶ τοῖς ἄλλοις τάχους ἕνεκα συντιθενται[50]).

652. Ὁ ἐπὶ τῶν ἀποῤῥήτων ἐντὸς κιγκλίδων τὰ ψηφισθέντα[51]) γράφει, καὶ οὕτως ἕκαςος τὸ δέον πράττει.

653. Οἱ διάκονοι αὐτῶν εἰσιν ἐπίχειρες, ῥαβδοῦχοι, θυρωροὶ, γραμματεῖς, κήρυκες.

654. Ὁ δῆμος φυλετευθεὶς[52]) δημάρχους, προτιθεμένους[53]) τῇ βουλῇ τὰ αὐτῷ δοκοῦντα[54]), καὶ τὰ νενομισμένα[55]) ἔχει.

655. Οἱ ἐργάται τὰ ἑταιρικὰ συςήματα εὐταξίας χάριν ἔχουσιν ὅπου πρωτοπείρου τινὸς τῶν κατὰ τέχνην ἔργων οἱ ἐπισάται καὶ τιμηταὶ ἀποπειρῶσιν[56])· ἐν Ῥώμῃ δὲ πάλαι τρεῖς τάξεις ἦσαν[57]), τῆς γερουσίας καὶ εὐπατρίδων, τῆς ἱππάδος, τοῦ δήμου.

LXIII. Περὶ τῶν δικῶν.

656. Δυοῖν περὶ τῆς κληρονομίας ἢ ἄλλου τινὸς ἀμφισβητούντων[58]), πολλὴ ἀνάγκη τὸν τρίτον παραγενόμενον διαλλάκτην τε καὶ μεσόδικον τὴν δίκην διαλύειν, ἵνα μὴ ὑπὸ φιλονεικίας τὸ δύσερι τῶν δικαζομένων εἰς ἄπειρον ἀποβήσηται[59]).

657. Διαιτητὰς ἓν (ἐκκρίτους δικασὰς) πρὸς ἀλλήλους μὴ δυνάμενοι καταλλάττεσθαι, αἱρείτωσαν[60]), ὧν τὴν δίαιταν ἑκάτεροι ἀποδέχοιντο[61]), ἢ δίκην ἀλλήλοις διὰ τῶν συνηγόρων ἐπαγέτωσαν.

658. Ὁ διώκων τὸν φεύγοντα (ἐν αἰτίᾳ ὄντα) πρὸς τὸν τῶν κεφαλικῶν ἐπισάτην, πλὴν ἡμέρας οὐ δικασίμου, καλῶν, κακουργίας τινὸς γράφεται.

659. Τοῦ κατηγόρου ἀσυναλλάκτως διατιθεμένου[62]), ὁ αἰτίαν ἔχων ἐγκαλεῖται[63]), πρὸς τὴν δίκην ἀπαντᾷ, καὶ ἀγωνίζεται, ἢ αὐτὸς αἰτιαθεὶς[64]), ἢ αὐτοῦ ἐπιμελητής, ἡ γραφὴ καὶ ἡ ἀπολογία ἀκούεται. Τοῦ γεγραμμένου[65]) τὸ ἔγκλημα ἀρνουμένου ἐλέγχων, ἢ μαρτύρων δεή-

50) συντίθημι. 51) ψηφίζω. 52) φυλετεύω. 53) προτίθημι. 54) δοκέω. 55) νομίζω. 56) ἀποπειράω. 57) εἰμί. 58) ἀμφισβητέω. 59) ἀποβαίνω. 60) αἱρέω. 61) ἀποδέχομαι. 62) διατίθημι. 63) ἐγκαλέω. 64) αἰτιάω. 65) γράφω.

Digitized by Google

σει [66]), τούτους δὲ μὴ αὐτοπίστους ὄντας, ἐνόρκους ληπτέον [67]) ἐστί.

660. Πρόδικος τοὺς πρόσφυγας μὴ ἀπολειπέτω, ἀλλὰ πιστῶς αὐτοῖς συνηγορείτω [68]), οὐδαμῶς δὲ πέρα τοῦ δικαίου, ἵνα μὴ ἐγγλωττογάστωρ καὶ δικοῤῥάφος εἶναι ἀκούοι.

661. Ὁ δικαστὴς φυλαττέσθω τὰ προκρίματα, χάριν, μῖσος, ἔλεον, χρημάτων ἀδωρότατος ἔστω [69]), φόβου, προσωποληψίας, παθῶν ἁπάντων ἀπαλλαγεὶς [70]), κατὰ δίκαια ὀρθῶς τὴν κρίσιν κρινέτω.

662. Τῶν παρέδρων παρόντων πρὸς δικαστοῦ ἐστὶ, κελεύειν ἐλευθερίως τε καὶ δικαίως τὴν ψῆφον φέρειν, πρὸς δὲ ἐκείνων, ἐν τῷ τῶν κακούργων καταδικάζειν, καὶ τοὺς ἀναιτίους τῶν ἐγκλημάτων ἀφεῖναι [71]), δικαίως τὴν ψῆφον θέσθαι [72]).

663. Ἀπρεπὲς τὰ κοινῇ ψηφισθέντα [73]) ἀκυροῦν [74]).

664. Ἡ καταδίκη ὡς τάχιστα [75]) ἐκτελείσθω, τοῦ κινδυνεύοντος οὐκ ἀπολογουμένου [76]), οὐδ᾽ ἐς δικαστήριον μεῖζον ἐφιέντος [77])· τῆς δ᾽ ἀπραξίας ἐκκηρυττομένης, ἢ ἀναβολῆς τῆς κρίσεως, ἢ μεσεγγυήσεως, πολλάκις ἀπολύεται.

665. Οἱ δικαζόμενοι ἑαυτοὺς ἐπὶ τὴν ἀρχὴν παριστᾶναι [78]), ἐγγυήσεσιν, ἃς ὁμολογοῦσι [79]) καὶ παρέχουσιν, ἐνίοτε ἀναγκάζονται.

666. Ὑπὲρ δὲ τοῦ γεγραμμένου, τῶν ἐγγυητῶν τοὺς δικαστὰς ἱκετευόντων ἀναβολὴν τῆς καταδίκης ποιοῦνται· ἐγγύα, πάρα [80]) δ᾽ ἄτη.

LXIV. Περὶ τῶν κακούργων καὶ τῆς αὐτῶν τιμωρίας.

667. Τῶν ἁμαρτιῶν πληθυνομένων τε καὶ σωρευομένων τοὺς ἀνόσια δρῶντας [81]) προφανῶς τιμωρητέον [82]), καὶ ἢ θάνατον ἢ ζημίαν αὐτῶν καταγνωστέον [83]) ἐστίν· ἀτιμώρητος γὰρ κακουργία χείρων ἀεὶ ὑπ᾽ αὐτεξουσίου ἀπέβη [84]).

66) δεῖ. 67) λαμβάνω. 68) συνηγορέω. 69) εἰμί. 70) ἀπαλλάσσω. 71) ἀφίημι. 72) τίθημι. 73) ψηφίζω. 74) ἀκυρόω. 75) ταχέως. 76) ἀπολογοῦμαι. 77) ἐφίημι. 78) παρίστημι. 79) ὁμολογέω. 80) πάρειμι. 81) δράω. 82) τιμωρέω. 83) καταγινώσκω. 84) ἀποβαίνω.

Digitized by Google

668. Τιμωρητικὰ δὲ τῶν κακῶν, καὶ τοῖς νόμοις ἀπειθούντων [85]) τάδε· αἱ ῥάβδοι, μάστιγες, πέδαι, χεῖρες σιδηραῖ [86]), κλοιοὶ, ποδοστράβαι, εἱρκταὶ, φυλακαὶ, βασανιστήρια, σταυρός· ῥαβδοῦχοι καὶ δήμιοι τοὺς πανούργους [87]) ἕλκουσι, δεσμεύουσι, τύπτουσι, βασανίζουσι, θανατοῦσι· [88]).

669. Βαλαντιοτόμοι, κλέπται τῶν δημοσίων, ἀνακρεμῶνται [89])· οἱ μοιχοὶ καὶ ἀνδροφόνοι ἀποκεφαλίζονται· οἱ λησταὶ, πειράται, ἱερόσυλοι τροχίζονται, καὶ τὰ ὀστᾶ [90]) ξυντρίβονται, πάλαι ἐσταυρώθησαν [91])· οἱ πατραλοῖαι, παιδοφόνται, εἰς σάκκον μετ᾽ ὄφεων [92]) ἐμβεβλημένοι [93]) καταποντίζονται· αἱ λαμίαι, στρίγες [94]), ἐμπρησταὶ ζῶντες [95]) καταπρήθονται· οἱ προδόται, ἐχθροὶ τῆς ἑαυτῶν πατρίδος τεθρίππῳ διασπασθέντες [96]) τὸν βίον ἀθλίως τελευτῶσι [97]), τὰ δὲ κτήματα αὐτῶν δημοσιοῦται [98])· οἱ διάβολοι τὴν γλῶτταν ἐκτέμνονται ἢ κτείνονται· αἱ πόρναι καυτῆρι κατεστιγμέναι [99]) περιπατοῦσιν [100])· οἱ κλεπτοδόχοι τοῖς κλωψὶν ἰσοῦνται [1]).

670. Τυχαῖον τὸ κολαφίζεσθαι· κόνδυλος παίγνιόν τι.

671. Τῆς τιμωρίας ἄνεσις ἢ ἀπενιαυτισμῷ, ἢ καταγραφῇ γίνεται.

672. Ὁ φυγὰς ἐν φυγαδευτηρίῳ ἀειφυγίαν φεύγει, ἔξορος πλανᾶται [2])· ἔνδημος μηδαμοῦ ἡσυχάζει.

LXV. Περὶ τῆς μοναρχίας.

673. Τὸ ἐξουσιαστικὸν κοινωφελές ἐστι, τοῦ τὸν ἀνίσχυρον ὑπὸ δυνατωτέρου μὴ κατισχύεσθαι· ἑνὸς ἀρχὴ μοναρχία, ἄρχων μόνος, μονάρχης· οἱ καίσαρες ὑπὸ τῶν αἱρετῶν [3]) ἀρχόντων αἱροῦνται [4])· οἱ πάλαι Ῥωμαίων αὐτοκράτορες συλλειτουργοὺς ἐνίοτε εἶχον [5]).

674. Κατὰ νόμον οὗτος βασιλεύων βασιλεὺς, ὠμῶς δὲ τοὺς ὑπηκόους κατατρύχων σὺν τῷ στεφάνῳ τε καὶ σκήπτρῳ τύραννός ἐστιν.

85) ἀπειθέω. 86) σιδηροῦς. 87) πανουργέω. 88) θανατόω. 89) ἀνακρεμάω. 90) ὀστοῦν. 91) σταυρόω. 92) ὄφις. 93) εἰσβάλλω. 94) στρὶξ. 95) ζάω. 96) διασπάω. 97) τελευτάω. 98) δημοσιόω. 99) καταστίζω. 100) περιπατέω. 1) ἰσόω. 2) πλανῶμαι. 3) αἱρέτης. 4) αἱρέω. 5) ἔχω.

675. Ἐν τῇ μητροπόλει κατοικῶν καὶ ἐπὶ θρόνου ἐλεφαντίνου καθήμενος [6]), σινδόνα μεγαλοπρεπῶς βυσσίνην ἀμπεχόμενος [7]), καὶ ἀλουργίδα ζωωτὸν καὶ κατάστικτον, ἐν ὄχλῳ αὐλικῶν καὶ δορυφόρων σοβεῖ.

676. Σύμβουλοι δέ εἰσιν οὗτοι, ἢ τῷ ἄρχοντι συντετηκότες [8]), ἢ κοινοί, ἔφορος τῆς αὐλῆς καὶ ἔπαρχος, ξιφοφόρος, διαιτοφόρος, προτένθης, ὁ πρὸς κύλιξιν, ἀρχιπποκόμος, ὁ τῶν ἱκεσίων προϊστάμενος [9]), ἀρχιγραμματεὺς ἔχων ὑφ᾽ ἑαυτῷ ἐπιστολιογράφους, ὁ ἐπὶ τῶν ἀπορρήτων, κατακοιμασταί, μεσαύλιοι, προχειροφόροι, ἐπίχειρες.

677. Ἄλλοθι ἔχει καὶ ἄλλοσέ ποι τοπάρχας, φρουράρχους, σατράπας, τῶν προσόδων ταμίας, ἀποδεκτῆρας, τελώνας, πρεσβευτὰς αὐτοκράτορας πέμπει.

678. Τούτοις τεθνηκόσιν [10]) οἱ διαδεξόμενοι [11]) ἀνθυποκαθίστανται [12]).

679. Τὸ βασίλειον αὐλαίοις, περιστρώμασι, τάπησι, γραφαῖς βασιλικῶς κεκοσμημένον [13]) ἁρμονικῇ καὶ ὀργανικῇ περιηχεῖται [14]).

680. Ἀδολέσχαι, μωροί, παράσιτοι (ψωμοκόλακες) συκοφάνται ἐν αὐλαῖς διατρίβουσι· τὸ τῶν εὐνούχων γένος ἀπηρχαιώθη [15]) (ἐπαλαιώθη [16]).

681. Τὸ βασιλικὸν ἀξίωμα ἐπίφθονον, ἡ δὲ πραΰτης ἀντὶ φρουρᾶς ἔσται [17]).

682. Οὐχ οὕτω τοῦ ἄρχοντος οἱ σωματοφύλακες προμάχονται, (ὑπερμαχοῦσιν [18]), οὐδ᾽ οὕτω πρόσοδοι τοῦ ταμείου, ἢ θησαυροὶ αὐτὸν πλουτίζουσιν, ὡς ἡ τῶν ὑπηκόων εὔνοια.

683. Ἀγγαρείαις τοίνυν, εἰσφοραῖς καὶ δασμοῖς οὐ δεῖ αὐτοὺς κατεσθίειν, ταλαιπωρεῖν καὶ διαχρᾶσθαι [19]), μᾶλλον δὲ λαμπραῖς ἐπιδόσεσι καὶ διανομαῖς αὐτῶν εὔνοιαν κτήσασθαι [20]).

684. Οὕτως τοῦ λαοῦ δεῖ ἄρχειν, ὡς αὐτὸς ἂν ἄρχεσθαι βούλοιο [21])· ὑπηκοὴ γὰρ ἀναγκαστὴ ἐπισφαλής.

6) κάθημαι. 7) ἀμπίσχω. 8) συντήκω. 9) προΐστημι. 10) θνήσκω. 11) διαδέχομαι. 12) ἀνθυποκαθίστημι. 13) κοσμέω. 14) περιηχοῦμαι. 15) ἀπαρχαιῶμαι. 16) παλαιῶμαι. 17) εἰμί. 18) ὑπερμαχέω. 19) διαχρῶμαι. 20) κτῶμαι. 21) βούλομαι.

Digitized by Google

LXVI. Περὶ τῆς βασιλείας τε καὶ χώρας.

685. Ἡ βασιλεία ἐστὶ τοῦ δήμου μοναρχουμένου [22]) κατὰ νόμους κατάστασις.

686. Τῶν πραγμάτων χαλεπῶς ἐχόντων οἱ μεγιστᾶνες, ἔξαρχοι, πρωτεύοντες, δυνάσται, εὐγενεῖς σύνοδον ποιοῦσιν [23]) · οἱ γεωργοὶ (ἀγροδίαιτοι, ἀγραυλοῦντες [24]) τοῖς κωμάρχοις εὐπειθεῖς (ὑποχείριοι) τὴν γῆν γεωργοῦσιν [25]).

687. Ἐν τῇ ἑαυτοῦ δυναστείᾳ ἕκαστος προστάττειν δύναται, ὅ τι ἂν δοκοίη [26]), οὐδὲν δ᾽ ἄλλο, ἢ δημωφελεῖν δεῖ.

688. Ἐπικράτεια, ὅπου τις τῶν πραγμάτων κρατεῖ, διοίκησις, ὅπου δήμῳ τις δικάζει, ἐπαρχία δορυάλωτός ἐστι.

689. Τὰ ἔθνη ὁμοροῦντα [27]) περὶ τῆς χώρας περιοικίδος ἀμορίας, τερμάτων ὡς τὰ πολλὰ, ἀμφισβητοῦσιν [28]) · ὁροθεσίᾳ δὲ σπονδοποιοῦσιν [29]) ἀλλήλοις, ὁμολογοῦνταί [30]) τε, καὶ ὅρκια πηγνύουσιν, ἐπίορκοι δε παρασπονδοῦσι.

LXVII. Περὶ τῆς εἰρήνης τε καὶ τοῦ πολέμου.

690. Ἡ εἰρήνη εὐκταιότατον, πολλάκις δὲ μάχαις μόνον ἐφικτόν.

691. Οἱ στασιῶται καὶ ὀχλαγωγοὶ στάσεις κρύφα ἐν ταῖς πόλεσι στασιάζουσιν, ὀχλοκοποῦσι [31]), συνομωμοκότες [32]) δὲ φανερὰν ἐπανάστασίν τε καὶ ὄχλησιν ἐγείρουσιν, ἢ μὴ παυομένη, πολέμου ἐμφυλίου αἰτία καθίσταται [33])!

692. Ἀποφύλιος ἐχθρὸς ἑτέρωθεν ἐπιβάλλει, καθ᾽ οὗ δυνάμεως ἀμυντικῆς δεόμεθα.

693. Ὁ φηκιαλεὺς (πρεσβευτὴς) τὸν πόλεμον ἀγγέλλει, ὁ δὲ κήρυξ σπονδοφόρος εἰρήνην αἰτεῖ, ὅταν τις ἀπαράσκευος ἢ ἀσθενέστερος [34]) τοῦ ἀντιπάλου ὑστερίζεται.

694. Ὁ ἀδύναμος (ἄνισχυς) κενοσπούδως πολεμησείων ματαιοπονεῖ.

22) μοναρχέω. 23) ποιέω. 24) ἀγραυλέω. 25) γεωργέω. 26) δοκέω. 27) ὁμορέω. 28) ἀμφισβητέω. 29) σπονδοποιέω. 30) ὁμολογέω. 31) ὀχλοκοπέω. 32) συνόμνυμι. 33) καθίστημι. 34) ἀσθενής.

695. Ἡ τοῦ πολέμου παρασκευὴ δαπανηρόν· στρατιώτας δεῖ καταλέξασθαι[35]), οἰκειοῦσθαι[36]), ὁπλίζειν, ἐξετάζειν ἐν λογιστηρίῳ καὶ ἀπαριθμεῖν, τροφῆς, σιτοπομπείας, συμμαχίας, δαπανημάτων ἀπείρων δεῖται[37]).

696. Εὐκαίρως οὖν τὸ στρατευτικὸν μίσθωμα καὶ τὴν τροφὴν συλλεκτέον[38]) ἐστίν· ἁπάντων δὲ ταμίας δεήσει[39]) προστήσασθαι[40]).

697. Ἔπειτα τὴν στρατιὰν συνειλεγμένην[41]) διάταττε καὶ διαίρει[42]) εἰς λεγεῶνας, σπείρας, λόχους, ἴλας· ἅπασιν ἐφίστανται[43]) δεκάρχαι, ὁ δὲ ἀρχιστρατηγὸς τῶν ὅλων προΐσταται[44]).

698. Οἱ νεοσύλλεκτοι τοῖς γεγυμνασμένοις[45]) σύμμικτοί εἰσιν· οἱ διμάχαι τῷ πεζῷ καὶ τῷ ἱππικῷ συμμιγεῖς μάχονται· οἱ αὐθαίρετοι (ἐθελονταὶ) οὐ μισθοφοροῦσιν· οἱ σκευοφόροι, μεσοστάται, σκευοφοροῦσι, καὶ τὰ ὅπλα βαστάζουσιν.

699. Ἅλις ὁπλισμάτων ἔσται, εἰ θώρακι, σταδίῳ, κώνῳ, πίλῳ σκυτίνῳ, θυρεῷ, ἀσπίδι περιφερεῖ[46]), ἀλυσιδώτῳ πέλτῃ σκεπασθεὶς[47]) ἧς[48])· ἔφιπποι ὁπλῖται κατάφρακτοί εἰσιν.

700. Ἡ ναυμαχία ὄγκους (ὀγκίνους σιδηροῦς καὶ ἅρπαγας προσαιτεῖ.

701. Οἱ στρατιῶται τὰ ξίφη ὑπεζωσμένοι[49]), πρόχειρα ἔχοντες, ταχέως αὐτὰ ἐκ κολεῶν ἕλκουσι, (σπῶσι[50]), καὶ αὖθις αὐτοὺς ἐντιθέασιν[51]).

702. Οἱ τοξόται τὰ βέλη ἐκ τῆς φαρέτρας προφέρειν, τόξου νευρὰν ψάλλειν, καὶ τοὺς ἐσβολὴν ποιοῦντας[52]) τῷ τοξεύειν (ἰοβολεῖν) φυγαδεύειν ἐθιζέσθωσαν.

703. Οἱ πυροβολομάχοι ἐκ σιδηρῶν σωλήνων πυροβόλων ψήγματι θειώδει πεφορτισμένων[53]) σφαιρία μολύβδινα εὐστόχως βάλλουσι.

704. Τὸν ἐκστρατεύσαντα δεῖ τίθεσθαι[54]) τὸν χάρακα, στρατοπεδεύεσθαι, τὰς κλισίας ἥλοις ξυλίνοις ἐκτανύειν, τάφροις τε καὶ χάραξι τὸ στρατόπεδον διοχυροῦν[55]),

35) καταλέγω. 36) οἰκειόω. 37) δέομαι. 38) συλλέγω. 39) δεῖ. 40) προΐστημι. 41) συλλέγω. 42) διαιρέω. 43) ἐφίστημι. 44) προΐστημι. 45) γυμνάζω. 46) περιφερής. 47) σκεπάζω. 48) εἰμί. 49) ὑποζώννυμι. 50) σπάω. 51) ἐντίθημι. 52) ποιέω. 53) φορτίζω. 54) τίθημι. 55) διοχυρόω.

Digitized by Google

φυλακὰς προκοιτίας διατίθεσθαι [56]), στρατηγήμασι χρῆσθαι [57]), ὅπου ἐπάναγκες.

705. Κατασκόπους ἀνόπλους καὶ ἐνόπλους ἐκπεμπτέον ἐστίν, ὧν μέγα ἐν πολέμοις ὄφελος, ὡς καὶ τῶν συνθημάτων, οἷς οἱ στρατιῶται ἑαυτοὺς διαγνωρίζουσιν· ἡμεροδρόμοι πρωῒ τῆς ἡμέρας ἐξελθόντες [58]), ὀψὲ ἐπανῆλθον [59]).

706. Τὰς ἐκδρομὰς ποιοῦντες προνομῆς χάριν, σιτολογοῦσιν· ἁρπαγῆς δὲ ἕνεκα ἀγεληδὸν ἐκδραμόντων [60]), τὰ τῷ οἴκῳ μὴ ἡνωμένα [61]) ἀναστατώσει ὄλλυται.

707. Ἐκεχειρίας συντιθεμένης [62]) ὅμηροι (ἀσφαλίσματα) ἀλλήλοις δίδονται.

708. Εἰς τὴν ἐκ συστάσεως μάχην τῆς στρατιᾶς ἐξαγομένης, ἡ παράταξις σφηνίσκου ἢ φάλαγγος εἶδος, ἀγήμασιν ὀχυρωμένη, ἔχει.

709. Τὰς σημαίας ἐν μέσῳ σημειοφόροι βαστάζουσιν· οἷς οἱ πρόμαχοι σὺν ταῖς ξιφομαχαίραις προηγοῦνται.

710. Οἱ τυμπανίσται, χαλκοκτύποι ὀτρυντῆρες, σαλπιγκταὶ στρογγύλαις σάλπιγξι, ἢ ὀρθαῖς τὸ πολεμικὸν, καὶ μετὰ τὴν μάχην τὸ ἀνακλητικὸν σημαίνουσιν.

711. Οἱ ψιλοὶ τῆς μάχης κατάρχονται, μετ᾽ ὀλίγον πανστρατὶ εἰς τὰς χεῖρας συνάπτουσιν, (ὁμόσε φέρονται).

712. Ἐξ ἀποστάσεως λίθους πετροβόλοις καὶ καταπέλταις, τὰ βέλη βαλλίστραις, σφαιρία πυροβόλοις, ἀκόντια ἀγκύλαις ἀφιεῖσιν [63]).

713. Ὁμόσε δὲ εἰς χεῖρας πολεμίοις συμμίξαντες [64]) σαρίσσαις προσόμοις, δόρυσιν, ἔγχεσι λογχωτοῖς ἐχθρὸν διελαύνουσι, κορύναις, ῥοπάλοις, ἄκλισι, κέστραις τύπτουσι, λαθραίαις παραξιφίσιν, ἐγχειριδίοις διαπείρουσι, ξίφεσι, μαχαίραις, ἅρπαις κατακόπτουσιν.

714. Ἀλλ᾽ οὐκ ἀναιμωτί· ἐξ ἑκατέρου γὰρ μέρους πλεῖστοι μετὰ θορύβου καὶ κραυγῆς φρικωδῶς πίπτουσι.

715. Τοῖς συμπλεκομένοις οἱ τῆς ἐφεδρείας τάξιν ἔχοντες, ὄπισθεν εἰσβάλλοντες ἐφεδρεύουσι, τὴν παράταξιν καταλύουσι, τοὺς δὲ φεύγοντας κατακόπτουσιν.

716. Οὗτοι οὖν ἔκφοβοι ἢ ἔκδοτοι γίνονται, ἢ ἁλίσκονται, ἢ φεύγοντες περιπλανῶνται.

56) διατίθημι. 57) χράω. 58) ἐξέρχομαι. 59) ἐπανέρχομαι. 60) ἐκτρέχω. 61) ἑνόω. 62) συντίθημι. 63) ἀφίημι. 64) συμμίγνυμι.

717. Πόλις ἀποστάτις, ἀκρόπολις, Φρούριον, εἰς ὃ Φυγαδευθέντες κατέφυγον, πολιορκεῖται[65]), καὶ κριοδόκαις ἀντιπεριωθεῖται.

718. Οἱ πολιορκηθέντες ἐκδρομὴν ἐκ Φρουρίου ποιοῦντες ἰσχύι μείζονι εἰσωθούμενοι[66]) νικῶνται[67]).

719. Ἅλουσα[68]) κατὰ κράτος διαρπάζεται, καὶ ἐνίοτε ἐξηρημωμένη πανωλέθρως ἀπολώλε[69]).

720. Πάντα τὰ ὀχυρώματα προαλόντα[70]) ἀποδίδοται.

721. Οἱ καλλίνικοι τῶν ἐχθρῶν λαφύροις καὶ σκυλεύμασι πεφορτισμένοι[71]), τρόπαιον ἱστάντες[72]) παιανίζοντές τε καὶ θριαμβεύοντες ἐκ τῆς μάχης ἐπανέρχονται.

722. Οἱ ἀριστεύοντες τὰ ἀριστεῖα λαμβάνουσιν· οἱ προδόται καὶ στασιῶται τιμωροῦνται[73])· οἱ αὐτόμολοι καὶ λειποτάκται κτείνονται· τραυματίαι θεραπεύονται· οἱ ἁλισκόμενοι ὑπὸ τῶν λυτρωτῶν λυτροῦνται[74]) ἢ δι' ἀλλαγῆς ἐλευθεροῦνται[75]).

723. Τέλος ἀναζευγνύουσι, σκευαγωγοῦσι, τοῖς μισθοφοροῦσι τὸ ἱκανὸν ποιοῦσι, καὶ αὐτοὺς ἀφωπλισμένους[76]), (ἀπεστρατευμένους[77]), ἀποταξαμένους[78]) ἀφιεῖσιν[79])· οἱ ἀφηλικέστεροι[80]) ἀστράτευτοι γίνονται· οἱ ὑπὲρ τῆς πατρίδος τεθνηκότες[81]) τιμῶνται[82]).

LXVIII. Περὶ τῆς σχολῆς, καὶ τῆς τῶν παίδων ἀγωγῆς.

724. Αἱ σχολαὶ, ἐν αἷς οἱ ἀγράμματοι παιδεύονται, πανταχοῦ ὠφέλιμαι· οἱ γὰρ πεπαιδευμένοι[83]) πρὸς ἅπαντα εὐφυεῖς τε καὶ ἐπιτήδειοι, οἱ δὲ ἀπαίδευτοι ὀλίγον ἀεὶ τῷ κοινῷ βίῳ συνενηνόχασιν[84]).

725. Οὐδ' εἰσὶ κατὰ τὸ τοῖς ἀβελτέροις δοκοῦν[85]), βασανιστήρια, ἀλλὰ παιδιὰ, ὅταν εὐμαθής τις διδασκάλου ἱκανοῦ καὶ φρονίμου ἐπιτύχοι[86]).

726. Ἀμφότεροι γὰρ μεγίστης ἡδονῆς ἀπολαύουσιν, ὁ μὲν ἐθελοντὶ μαθὼν[87]), ἐπιθυμητικῶς ζητῶν[88]) καὶ σπου-

65) πολιορκέω. 66) εἰσωθέω. 67) νικάω. 68) αἱρέω. 69) ἀπόλλυμι. 70) προαιρέω. 71) φορτίζω. 72) ἵστημι. 73) τιμωρέω. 74) λυτρόω. 75) ἐλευθερόω. 76) ἀφοπλίζω. 77) ἀποστρατεύομαι. 78) ἀποτάσσω. 79) ἀφίημι. 80) ἀφῆλιξ. 81) θνήσκω. 82) τιμάω. 83) παιδεύω. 84) συμφέρω. 85) δοκέω. 86) ἐπιτυγχάνω. 87) μανθάνω. 88) ζητέω.

Digitized by Google

δαίως ἀκούων, ὁ δὲ ἀσμένως, Φρονίμως, δεξιῶς, ἀπαυςὶ διδάσκων.

727. Τοῦτο τοῖς παιδαγωγοῖς, καὶ ἄλλοις δίδακτρα τῆς παιδείας ἀντιλαμβάνουσι προσεκτέον [89]) ἐςί.

728. Τῇ παιδείᾳ τὴν νουθεσίαν τε καὶ τὴν ῥάβδον προστιθέον [90]), τοῦ τὴν ἀσέλγειαν, ὄκνον, ῥαθυμίαν εἰς σχολὰς μὴ εἰσδύναι [91]).

729. Ὁ ὀλιγωρῶν τῶν παραινέσεων τυπτέσθω.

730. Εἰς καθέδραν οἱ διδάσκαλοι ἀναβαίνουσιν· αἱ ὑΦεδρίαι (αἱ κατωτέρω καθέδραι, σκιμπόδια) μανθανόντων εἰσί.

731. Καλάμῳ γραΦικῷ, ᾧ ἐντομὴ σμιλίῳ ἐγκόπτεται, ἐν χάρτου ἢ περγαμηνοῦ σελίσι, γραΦείῳ δὲ τοῦ ἐξαλείΦειν, ἐν πινακίδι γράΦομεν.

732. Οἱ μαθηταὶ τὰ ὑπὸ τοῦ διδασκάλου ἐκΦραζόμενα ἐν χάρτῃ γράΦουσιν· οὗτος τὰ παραγεγραμμένα [92]) ἐπανορθοῖ [93]), μεταδιδάσκων, ὅ τι δεῖ ἀπομαθεῖν [94]).

733. Ὅ τι θέλεις τῇ μνήμῃ καταλαβεῖν [95]), πολλάκις ἀναγίνωσκε, καὶ κατὰ σεαυτὸν ἐπανακύκλει, οὐκ ἐπιδρομάδην (παρέργως), ἀλλ᾽ ἐπιμελῶς· προὔργου δὲ μάλιςα ἔςαι [96]), τῶν βιβλίων θεοπνεύςων γνώμας τοῖς παισὶ πρωτοπείροις προτιθέναι [97]).

734. Ἡ ἀνάληψις σιγαλέη ἔςω [98]), ἐμΦώνως δὲ καὶ ἐναργῶς ἀποςοματίζε· ἡ ἐξέτασις καθημερινὴ, ἢ ἐκτακτός ἐςιν.

735. Ἐπιθυμῶν προκοπὴν ἐν τοῖς μαθήμασιν εὐτυχῶς προκόπτειν, ὡς τάχιςα [99]) ἄλλῳ τινὶ, ἃ ἐξέμαθες [100]), διηγοῦ [1]).

736. Πρέπον σοι σπουδαίῳ ὁδηγῷ ἕπεσθαι, ὅποι ἂν προηγῆται [2]), καὶ τοὺς συμμαθητὰς ἐναμίλλως μιμεῖσθαι [3]), ἕως ἂν αὐτοὺς ἰσάσῃς [4]), ἢ ἀγχινοίᾳ νικήσῃς [5]).

737. Ἐκ σχολῶν παιδοτριβικῶν, (παιδοτριβείων,) εἰς ἃς σπουδαίως Φοιτητέον [6]) ἐςὶν, οἱ σχολαςικοὶ εἰς ἐνηβητήρια, καὶ προαγωγῇ εἰς ἀκαδημίας ἀναβαίνουσιν· ἐν ταύταις τῆς Φιλολογίας, ΦιλοσοΦίας, θεολογίας, ἰατρικῆς, νομικῆς διδάσκαλοι ἀναγορεύονται.

89) προσέχω. 90) προτίθημι. 91) εἰσδύνω. 92) παραγράφω. 93) ἐπανορθόω. 94) ἀπομανθάνω. 95) καταλαμβάνω. 96) εἰμὶ. 97) προτίθημι. 98) εἰμὶ. 99) ταχέως. 100) ἐκμανθάνω. 1) διηγοῦμαι. 2) προηγοῦμαι. 3) μιμοῦμαι. 4) ἰσάζω. 5) νικάω. 6) φοιτάω.

LXIX. Περὶ τοῦ μουσείου.

738. Ὁ ἐπιτήδειος ταῖς μούσαις τόπος ἀμάρτυρος, ἠρεμαῖος, ἥσυχος, ἄνοχλος, ἀτάραχός ἐστιν· ἐν τούτῳ ὁ περὶ τὰ μαθήματα σπουδάζων τὴν βιβλιοθήκην, τὸν ὀκρίβαντα, τὸ μελανοδοχεῖον, τὴν καλαμοθήκην καὶ σμίλην ἔχει.

739. Τὰ βιβλία καθαρῶς, οὐδὲ πολλὰ, ἀλλ᾽ ἐκλεκτὰ μεταχειριζέτω.

740. Τίνος χάριν, ὦ γαθὲ, βιβλία τοσαῦτα 7), εἰς τόμους διαιρεθέντα κτήσῃ 8), ὧν ἔλεγχον μόλις ἐξαναγνώσῃ 9);

741. Οὐδ᾽ αὐτοῖς κηλῖδας ἐξαλείψει προσρίψῃς 10), ἐν δ᾽ ἐσχατιᾷ ἀστερίσκους ἀναμνήσεως χάριν σημειῶσαι οὐδεὶς κωλύει· καὶ τοί γε ὑπ᾽ ἐνίων νουνεχόντως συμβουλεύεται.

742. Ἄν τι εἰς νοῦν ἔλθῃ 11), οὐκ ἐᾶ 12) τοῦτο ἀφανισθῆναι 13), ἀλλ᾽ αὐτίκα οὐκ ἐν ἀποβλήτοις (ἀφέτοις) σχέδαις ἢ πιττακίοις, ἀλλὰ παλιμψέστῳ, εἶτα ἐφημερίσι καὶ προχείροις ὑπομνήμασιν ἔγγραφε· τὰ ὀπισθόγραφα ἀμφοτέρωθι ἔγγραφά ἐστι.

743. Τῷ νυκτογραφοῦντι 14) κηρόπλαστος μᾶλλον τοῦ ἐκ στέατος πεπλασμένου 15) λύχνου συμφέρει· ὅπως δὲ τοῦτο δύναιο 16) ἅπτειν, πυρεῖον, ἔναυσμα, χάλυψ, χάλιξ, ἐλάνη παρέστωσαν 16).

744. Αἱ δᾷδες τύφονται καὶ τύφουσι, βλαβεραὶ οὖν τῇ νυκτερείᾳ εἰσί.

745. Τὸ λυχνεῖον κρεμαστὸν ἔσω, τὸ σκιάδιον χλωρὸν, τὸ ἀπομυκτήριον πρόχειρον, ᾧ θαμὰ τὴν θρυαλλίδα ἀπόμυσσε· τὸν μύκητα ποδὶ, τοῦ μὴ βρωμεῖν, ἀπότριβε.

746. Ἐξελευσόμενος 17) λυχνίαν ἄνευ ἰπνοῦ μὴ φέρε, ταῖς λαμπάσι μὴ πίστευε.

LXX. Περὶ τῆς γραμματικῆς.

747. Ὁ γραμματικὸς τὰ γράμματα ὀρθογραφικῶς γράφει, καλλιγραφίας τε καὶ ἐτυμολογίας οὐκ ἀμελεῖ, τὴν ἀρχὴν τῶν περιόδων καὶ τὰ ἐμφατικὰ μεγάλοις

7) τοσοῦτος. 8) κτῶμαι. 9) διαγινώσκω. 10) προσρίβω. 11) ἔρχομαι. 12) ἐάω. 13) ἀφανίζω. 14) νυκτογραφέω. 15) πλάσσω. 16) πάρειμι. 17) ἐξέρχομαι.

Digitized by Google

γράμμασι σημειοῖ [18]), τὰς συλλαβὰς συνάπτει, τῶν Φωνῶν τὰς κλιτὰς συγκρίνει, κινεῖ, μετακλίνει, τὰς Φράσεις συντάττει, τὸ σημαινόμενον ἐξερευνᾷ, τὸν λόγον ὀρθῶς διεστιγμένον [19]) ἐκφωνεῖ.

748. Οἱ γραμματοκύφωνες τυπογράφοι καὶ ἐργάται ταύτῃ τέχνῃ δουλεύουσιν, οἱ ἐκ θηκῶν τοὺς τύπους ταχίστῃ [20]) ἀγχινοίᾳ ἐξαιροῦντες [21]) συζευγνύουσι, τῷ πιεστῆρι χάρτην ὑποτίθενται, ὅλα βιβλία χαλκογραφοῦσι, καὶ ἀποτελεσθέντα [22]) ταῦτα τῷ βιβλιοπηγῷ συμπήξεως χάριν διδοῦσιν [23]) ἃ βιβλιοπώλης πωλεῖ.

LXXI. Περὶ τῆς διαλεκτικῆς.

749. Ὁ διαλεκτικὸς συλλογιζόμενος τὰ περὶ ἑκάστου ὑποκειμένου κατηγορούμενα [24]) καὶ τὰς αἰτίας σκοπεῖ, τὰ ὁμωνύμως λεγόμενα διαχωρίζει, τὰ δυσνόητα Φανεροῖ, ἑκάστης ἀποφάσεως ἀσφάλειαν ἐξετάζει, τὰς διεξόδους συστέλλει, καὶ εἰς περικοπὰς διατέμνει.

750. Περὶ ἑκάστου ἀξιώματος, θέματος, ζητήματος διαλεγόμενος, τὰ ἄπορά τε καὶ ἀμφισβητήσιμα ἀμφοτέρως σκοπεῖται [25]), λογισμοὺς, διὰ τὸ ἀγχίνους εἶναι, πλέκει, ἅπαντα μεθοδικῶς διακοσμεῖ.

LXXII. Περὶ τῆς ῥητορικῆς τε καὶ ποιήσεως.

751. Ὁ ῥήτωρ εὐεπὴς Φράσεις ἐκλέγων, λόγους ἀσκῶν [26]), τὰ ῥήματα μετωνυμίᾳ, εἰρωνείᾳ, μεταφορᾷ, συνεκδοχῇ, οἷον τρόποις ἀπὸ τῆς ἰδίας σημασίας πρὸς ἄλλην τινὰ δι' ὁμοιότητα μετενεχθεῖσι [27]), λόγον δὲ σχήμασι τῶν λέξεων καὶ τῶν γνωμῶν ποικίλλων εὐφωνίαν τινὰ θηρᾷ· (τὰ σχήματα τῆς λέξεως δέκα εἰσίν· ἐπίζευξις, ἀναδίπλωσις, κλίμαξ, ἀναφορὰ, ἐπιστροφὴ, συμπλοκὴ, ἐπανάληψις, ἐπάνοδος, παρωνομασία, πολύπτωτον· τῆς γνώμης δέκα· ἐκφώνησις, (ἐπιφώνημα,) ἐπανόρθωσις, ἀποσιώπησις, ἀποστροφὴ, προσωποποιΐα, ἀπορία, ἀνακοίνωσις, πρόληψις, συγχώρησις·) λόγῳ κεκαλλιεπημένῳ [28]) καὶ ἡδείᾳ [29]) ἐκφωνήσει (ἐκφορᾷ) τοὺς ἀκροατὰς κινεῖ.

18) σημειόω. 19) διαστίζω. 20) ταχύς. 21) ἐξαιρέω. 22) ἀποτελέω. 23) δίδωμι. 24) κατηγορέω. 25) σκοπέω. 26) ἀσκέω. 27) μεταφέρω. 28) καλλιεπέω. 29) ἡδύς.

Digitized by Google

752. Ὁ ῥήτωρ εὐήγορος, πρὸς τὰ ῥητορικὰ προγυμναζόμενος καὶ φωνασκῶν, ἐν πανηγύρει ἐνίοτε ἄνευ προοιμίου ἄρχεται, προοιμιαζόμενος δὲ εὔνοιαν κτᾶται [30]), τὸ ἀμφισβητούμενον [31]) ἐκ τῶν στάσεων, τῆς στοχαστικῆς, ὁριστικῆς, δικαστικῆς ἐρευνῶν, σκέπτεται, ῥητορικῶς τε καὶ ἐναργῶς τὴν ὑπόθεσιν προτίθησι, πείθει, κατασκευάζει, δηλωτικοῖς παραδείγμασι χρώμενος [32]) μακρολογεῖ, οὐδ' ἔξω σκοποῦ τὸν λόγον μηκύνει· τὰ ἐναντία περιεσκεμμένως ἀνασκευάζει· τέλος ἐπίλογον ἢ ἐκ παρασκευῆς ἢ αὐτοσχεδιαστὶ ἐπιμετρεῖ.

753. Αἱ παροιμίαι, ἀποφθέγματα, συγκρίσεις τὸν λόγον πάνυ κοσμοῦσιν, ὃν γνωμολογικῶς τε καὶ βραχέως πολλὰ ἐκφράζοντα ἐμφατικὸν, καθαρῶς ὄντα Ῥωμαϊκὸν, περίκομψον καλοῦμεν.

754. Ὁ δὲ ποιητὴς ἐκ πεζοῦ λόγου ἐπικὸν (ἔπη, ῥυθμὸς) ποιῶν κομψεύει, καὶ ἐπιθαλάμια, ἐπικήδεια, προπεμπτικὰ, ἐπιγράμματα, ἀναγράμματα μελῳδεῖ· ὁ δὲ τῶν ἄλλων προύχων στεφάνῳ δαφνίνῳ τὰ ἀριστεῖα στεφανοῦται [33]).

LXXIII. Περὶ τῆς μαθηματικῆς, καὶ πρῶτον τῆς ἀριθμητικῆς.

755. Αἱ μαθηματικαὶ ἐπιστῆμαι ὁμῶς χρήσιμαι καὶ λεπτολόγοι εἰσίν.

756. Ἡ ἀριθμητικὴ τοὺς ἀριθμοὺς, δεκάδας, ἑκατοντάδας, χιλιάδας, μυριάδας, συνθέσει, ἀφαιρέσει, πολλαπλασιασμῷ, διαιρέσει ἀριθμεῖ, χρωμένη σημείοις ἢ ψήφοις ἐπ' ἄβακος· ἄγροικοι δὲ τῷ δέκα, δώδεκα, πεντεκαίδεκα, ἑξήκοντα ἀριθμῷ χρῶνται [34]).

LXXIV. Περὶ τῆς γεωμετρίας.

757. Ὁ γεωμέτρης οἱονεὶ παιδιώδης τὰ σχήματα θεωρεῖ, τὰ διαστήματα μετρεῖ, εἴ τι ἐγγὺς ἢ πορρωτέρω ἄπεστι.

758. Κατευθυντηρίῳ τὰς γραμμὰς εὐθείας [35]), πλαγίας, σπείρας, ἕλικας, κανόνι τὰς γωνίας, τῷ δὲ δια-

30) κτῶμαι. 31) ἀμφισβητέω. 32) χράω. 33) στεφανόω. 34) χράω. 35) εὐθύς.

Digitized by Google

βήτη κύκλον, ου τὸ μέσον κέντρον, τὸ δὲ ἔσχατον περιφέρεια διαγράφει.

759. Ὁ κῶνος κώνιος, κύλινδρος κυκλοτερὴς, κύβος τετράγωνος, τὸ πρίσμα πολυγώνιον, ἡ σφαῖρα στρογγύλη, τὴν ἔξω περιφέρειαν κυρτὴ, τὴν δ᾽ ἔσω κοίλη ἐστί.

760. Ὁ κύκλος σχῆμα ἐντελέστατον [36]) τε καὶ θειότατον πάντα περιέχον, οὐδὲν τραχὺ, πολύκολπον, τμητὸν, διαβεβρωμένον [37]), ἐπικαμπὲς, ὑπέροχον προσδέχεται.

761. Ἅπασα διαμέτρησις διὰ τριγώνου τελεῖται [38]).

LXXV. Περὶ τῶν μέτρων καὶ σταθμῶν.

762. Τὰ μέτρα τῶν συνεχῶν [39]) σιτάριον, δάκτυλος, δοχμὴ, σπιθαμὴ, κυβιτὸν, βῆμα, ὀργυιὰ, δεκάπους, στάδιον, μίλιον, λεύκη· τούτοις πάντα καταμετροῦμεν [40]).

763. Τῶν διυγρῶν· ἀσκὸς, ἀμφορεὺς, στάμνος, χοῦς, ξεστὴς, ἡμίξεστον, τέταρτον, ὀξύβαφον, τρίτον, κύαθος, μύστρον.

764. Τῶν ξηρῶν· μέδιμνος, τριτεὺς, μόδιος, ἡμιμόδιος, τέταρτον, χοῖνιξ, κοτύλη, δράξ, χειροπληθές.

765. Τάλαντα τάδε· ἑκατονταλαντία ἑκατὸν λίτρας σταθμικὰς περιέχουσα, λίτρα, ἡμίλιτρον, τέταρτον, οὐγγία, τετράδραχμον, τῆς οὐγγίας τριτημόριον, ἀσσάριον, ἑξάγιον, δραγμὴ, γραμμὴ, δίλιτρον, τρίλιτρον, τετράλιτρον.

766. Σηκώματος ὑπὸ τοῦ ζυγοστάτου ἐν στατῆρι ποιουμένου [41]), τὸν κανόνα ἐκ ζυγοῦ ἐξιόντα [42]), καὶ ἐν τῇ λαβῇ κινούμενον [43]) σκόπει [44]), εἰ τὰ ἡμιζύγια οὕτως ἰσοῖ [45]), ὥστε ἰσοστάδιον εἶναι.

767. Ἡ τρυτάνη τῶν ἀργυροκόπων ἐστὶ, τὸ δ᾽ ἡμιζύγιον κομιστικὸν τῶν ταλασιουργῶν, ἔχον ἐν ἐσχατιᾷ μιᾷ ὄγκον, ἐν ἑτέρᾳ δὲ βάρος· ὄγκος τῷ κέντρῳ προσαγόμενος βαρύτερον, ἀπὸ δὲ τούτου μετακινούμενος, κουφότερον σταθμίζει.

768. Εἴ τι προσίθεται, ἐπίσαγμα (προσκατάβλημα) καλεῖται [46]).

36) ἐντελής. 37) διαβρώσκω. 38) τελέω. 39) συνεχής. 40) καταμετρέω. 41) ποιέω. 42) ἔξειμι. 43) κινέω. 44) σκοπέω. 45) ἰσόω. 46) καλέω.

LXXVI. Περὶ τῆς ὀπτικῆς τε καὶ γραφῆς.

769. Ὁ ὀπτικὸς τὰς ἀκτῖνας ὁρατικὰς καὶ τὰ ὁρατὰ ἐρευνᾷ, ἵνα τί τὰ μὲν διαυγῆ, τὰ δὲ ζοφοειδῆ, καὶ ταῦτα διακρίνων διόπτρας κατασκευάζει, ἐντεῦθεν ἡ ἰχνογραφία, ὀρθογραφία, σκηνογραφία, καὶ ἡ ὅλη σκιαγραφία ἀναβλύζει.

770. Καὶ ὁ γραφεὺς πρὸς ἀρχέτυπόν τι γραφήν τινα σκιαγραφεῖ, εἶτα τῷ γραφείῳ χροΐζει, ποικίλλει, ἐπισκιάζει.

771. Ὁ λιθοξόος ἄγαλμα γλύφει, κοιλαίνει καὶ ςυλοβάτη ἐπιτίθησι· τῦτο ὑπερμεγεθὲς ὂν, κόλοσσον, καλλίμορφον δὲ, Πολυκλήτειον τέχνημα κάλει [47]).

772. Οἱ σκιαθῆραι τῷ γνώμονι τὰς ὥρας, αἱ κλεψύδραι τῇ ῥεύσει δεικνῦσι.

LXXVII. Περὶ τῆς μυσικῆς.

773. Ὁ μυσικὸς μετὰ τὰ προᾴσματα τὰ ἠχεῖα κρύων, μελῳδεῖ.

774. Ἡ συμφωνία ἐςι συνῳδία τῶν ἐναρμονίως μελῳδύντων [48]), ἡδεῖα [49]) ἀκύεσθαι, καθάπερ ἡ διαφωνία δύσφωνός ἐςι.

775. Τὸ ὄργανον σωλήνων ἢ συρίγγων [50]) συμπήγνυται, ἡ κιθάρα, χέλυς, λύρα, σαμβύκη, πανδύρα χορδὰς τοῖς ἐπιτονίοις ἐπιτεινομένας τε καὶ ἀνιεμένας [51]) ἔχυσι.

776. Τὰ νεῦρα τῷ πλήκτρῳ τῦ ἠχεῖν κρύεται.

777. Ὁ ἀσκαυλὸς ὑπ' ἀσκαύλυ ἐμφυσώμενος [52]), καὶ τὸ κρέμβαλον ἀπηχῦσι [53]).

LXXVIII. Περὶ τῆς ἀςρονομίας.

778. Ὁ ἀςρονόμος τὰς τῶν ἀςέρων κινήσεις, ὁ ἀςρολόγος τὴν δύναμίν τε καὶ ἐνέργειαν αὐτῶν σκοπεῖ.

779. Ἐκ τῶν ἐφημερίδων ὐκ ἄγνωτον, τὰ γενέθλια τῦ πάσχατος τρίμηνον, τῦτυ δὲ τὴν πεντηκοςὴν σχεδὸν δίμηνον, καὶ ταύτης τὴν ἐπιφάνειαν ἑξάμηνον ἀπέχειν.

780. Μῆνές εἰσι δώδεκα, ὁ γαμηλιὼν, ἐλαφηβολιὼν, μυνυχιὼν, θαργηλιὼν, σκιῤῥοφοριὼν, ἑκατομβαιὼν, με-

47) καλίω. 48) μελῳδέω. 49) ἡδύς. 50) σύριγξ. 51) ἀνίημι. 52) ἐμφυσάω. 53) ἀπηχέω.

Digitized by Google

ταγειτνιὼν, βοηδρομιὼν, μαιμακτηριὼν, πυανεψιὼν, ἀνθεστηριὼν, ποσειδεών.

781. Ἕκαστος τούτων ἐν ἐφημερίδι Ῥωμαϊκῇ καλάνδας, νόννας, εἴδους ἔχει.

782. Ἐντὸς τριετηρίδος ἐμβολισμὸς γίνεται· ἡ ὀλυμπιὰς συντελεσθεῖσα [54]) ἔτος δίσεκτον ἀνάγει.

LXXIX. Περὶ τῆς γεωγραφίας.

783. Ὁ γεωγράφος καὶ κοσμογράφος τὰς χώρας, ἐφ' ἃς οὐκ ἐφίκετο [55]), ἐν ἠπείρῳ, νήσοις, χερρονήσοις, τὰς παραλίους, μεσογαίους, καὶ τὰ αὐτῶν κλίματα, παραλλήλους, χωρογραφεῖ, τούς τε παροίκους, ἀντίποδας [56]), περιοίκους, ἀντοίκους, καὶ τοὺς τούτων ὅρους θεωρεῖ [57]).

LXXX. Περὶ τῆς ἱστορίας.

784. Ἡ ἱστορία ἐστὶ τῶν πραχθέντων [58]) τε καὶ γεγονότων [59]), μῦθος δὲ τῶν πεπλασμένων [60]) διήγησις.

785. Τὰ μὲν ἱστοριογράφος ἱστορείτω, τὰ δὲ τοῖς ὑπομνήμασιν ἐγγράφειν ἀθέμιστον ἡγείσθω [61]).

786. Ὅπως δὲ φανερὸν γένοιτο [62]) ἀληθῆ, οὐχ ὑποβολιμαῖα εἶναι, τὰ περιστατικὰ εἰς τὰ δημόσια γράμματα ἐγγραφέτω.

LXXXI. Περὶ τῆς ἰατρικῆς.

787. Τοῖς ὑγιαίνουσι κάλλιστον, ἀσφαλέστατον [63]), ἀβιαιότατον ἴαμα ἡ δίαιτα.

788. Οὐ πῖθι [64]) οὐδ' ἔσθιε μὴ διψῶν [65]) ἢ πεινῶν· τεκμήριον δὲ τῆς ὀρέξεως ὁ σιαλὸς τὸ ὑπερῷον τοῦ βρώματος ὁρωμένου γαργαλίζων, καὶ ὑγιῶς διάξεις [66]), τὸ σῶμα ἰσχύσεις.

789. Ἄσιτος ὢν (ἄγευστος) τὴν τῆς τροφῆς ἔφεσιν προσδέχου [67]).

790. Εἴ πού σοι ἀσθένεια εἰσῆλθε [68]), τῇ ἀποσχέσει τε καὶ ἡσυχίᾳ θεραπεύεται· τοῦτο οἱ μὴ νηστεύοντες, πλὴν ὅταν διάκοροι ἢ ὑπέρκοροί εἰσιν, οὐδὲ πόνου λήγοντες, εἰ μὴ ἀπειρήκασι [69]), μνημονευέτωσαν.

54) συντελέω. 55) ἐφίκομαι. 56) ἀντίπους. 57) θεωρέω. 58) πράσσω. 59) γίνομαι. 60) γίνομαι. 61) ἡγοῦμαι. 62) γίνομαι. 63) ἀσφαλής. 64) πίνω. 65) διψάω. 66) διάγω. 67) προσδέχομαι. 68) εἰσέρχομαι. 69) ἀπείρηκα.

791. Τὰ κνίσματα, τρίψεις, θερμάσματα, ἐμβροχαὶ, Φλεβοτομία, ἐγχάραξις, ἔμπλαστρα, μαλάγματα, δρώπακες, καταπλάσματα, μαλακτικὰ, κηρωτὰ, θυμιάματα, καὶ τὰ λοιπὰ ἔξωθεν ἐπιθέντα [70], ἢ ἀνώδυνα, ἢ πραΰντικα ἐστιν, ὡς καὶ οἱ ἀποφλεγματισμοὶ καὶ τὰ κολλύρια.

792. Τὰ διαφορητικὰ, καθαρτικὰ, ἐπισπαστικὰ, ἱδρωτικὰ, ἐωστικὰ, ἢ ποτὰ ἢ καταπότια, (γογγύλια) ἢ ἐκλείγματα ἐνεργῆ, ἀνύσιμα καὶ συντελικὰ Φάρμακα.

793. Τὰ κλυστήρια, ἐνέματα, χαλαστικὰ ὄντα, κλύζει, ὡς καὶ βάλανοι· τὰ ἀλεξιφάρμακα τῷ ἰῷ, τὰ περιάμματα, καὶ τὸ τῷ ἀνεμεσήτως καὶ ἀκόμπως τὸν Φθόνον παραιτεῖσθαι [71]) τῇ βασκανίᾳ ἐναντιοῦται [72]).

794. Τοῦ κρήματος καὶ τῆς ἀρτηρίας οἱ ἰατροὶ ἡμερῶν κριτικῶν καὶ ἐτῶν κλιμακτηρικῶν στοχάζονται, σκωπτόμενοι πικρῶς, ὅτι αὐτοῖς μόνοις ἀτιμωρήτως (ἀναιτὶ) ἐκποδὼν τοὺς ἀνθρώπους ποιεῖν ἔξεστι· γένοιτο [73]) ψευδές.

795. Οἱ ὑπουργοὶ αὐτῶν εἰσιν οἱ χειρουργοὶ καὶ Φαρμακοπῶλαι· οὗτοι τὰ ἰητήρια, ἀλείμματα, σεράπια, ἐκλεικτὰ, καρυκεύματα, ἡδύσματα, τροχίσκους, βλωμοὺς παρασκευάζοντες, ἐν τοῖς τῶν μυροθηκίων πυξιδίοις ἅπαντα τηροῦσι [74]), σημείοις τούτοις χρώμενοι [75])·

n.		σιτάριον,
℈		γραμμὴν,
℥	οἷς δηλοῦσι [76])	οὐγκίαν,
ʒ		δραχμὴν,
℔		λίτραν,

καὶ ἄλλοις.

LXXXII. Περὶ τῆς ἐθικῆς.

796. Ἡ ἀρετὴ ἐν μετριότητι, ἡ δὲ κακία ἐν ὑπερβολῇ καὶ ἐλλείψει συνέστηκε [77])· τὸ γὰρ ὑπερβάλλειν τε καὶ ἐλλείπειν ἁμαρτάνειν ἐστί.

797. Τὸ ἀλιτεῖν ἀπερισκέπτως πταῖσμα καὶ ἀβλέπτημα, ἐκ προαιρέσεως, μοχθηρία, κακοήθεια, ἐξεπι-

70) ἐπιτίθημι. 71) παραιτέω. 72) ἐναντιόομαι. 73) γίνομαι. 74) τηρέω. 75) χράω. 76) δηλόω. 77) συνίστημι.

τηδὲς, ῥαδιέργημα, ἐθελοκάκως, ἄγος, ὑπερβαλλόντως, μίασμα, τὸ δεινοπαθεῖν ἄλλον ἐθέλειν κακομηχανία λέγεται.

798. Ὁ μηχανώμενος τοιαῦτα [78]), εἰ αὐτῷ ȣδὲν τῶν ἡμαρτημένων [79]) μεταμέλει, ȣδὲ τοῖς αἰσχροῖς αἰσχύνεται, πανώλεθρός ἐςι.

799. Μοχθηρὸς ὁ τὸν πέλας κακȣργεῖν ἐν ȣδενὶ λόγῳ τιθέμενος [80])· ὁ δὲ τȣ̃ πανȣργεῖν ἀπεχόμενος ἀγαθός ἐςιν· ὁ ἀμίαντος πᾶσαν ἀκαθαρσίαν ἀποςρέφεται καὶ καταρᾶται [81]).

800. Ἡ κακοήθεια κατὰ μικρὸν εἰσερπύζει, ἣ ἐῤῥωμένη [81]) ὀψὲ ἂν ἀντιτείνοις· τὰ βαθύῤῥιζα σπανιάκις ἐκρίζȣται [83]).

LXXXIII. Περὶ τῆς Φρονήσεως.

801. Ἕκαςον τῆς ἀξίας τιμῆσαι [82]) Φρονήσεως ἔρεισμα, ὅπως μὴ τὰ πολύτιμα ἀτίζοιτο, ȣδὲ τὰ φαῦλα καὶ ἀπόβλητα ἐκείνων προτιμῷτο [83]).

802. Πρίν τινος ἄρχεσθαι πράγȣ ἔσαι ἀκριβῶς ἐξετάζειν, εἰ ἔξεςιν, εἰ δυνατὸν, εἰ ὠφέλιμον, μὴ μάτην πονῆς [85]).

803. Ἐπιχειρῶν πράγματι τȣ̃ προφυλάττεσθαι δεομένῳ, εὐσκόπως καὶ φρονίμως τὸ τέλος καὶ τὰ μέσα προνοῶν [87]), καιροφυλακτεῖ.

804. Οἱ ἀνόητοι (φρενοπλῆγες, παρακινητικοὶ, παράκρȣςοι) ἀσκόπως φερόμενοι, τῶν ἀσυγχωρήτων ὀρέγονται· ἀκρομανεῖς δὲ καὶ νυμφόληπτοι ἀδύνατα διώκοντες ἀπερισκέπτως τῆς εὐκαιρίας ἀμελȣ̃σι.

805. Προτεθείσης [88]) αἱρέσεως ἐπὶ πολὺν χρόνον βȣλευτέον, ὃ ἅπαξ ὁριςέον [89]) καὶ προαιρετέον [90]), τῶν δὲ περισσῶν ἀφεκτέον [91]) ἐςί.

806. Περὶ τῶν ἐπιτηδείων ἀκριβῶς βȣλεύȣ, εἰ ȣ̃τως ἢ ἄλλως ἄμεινον· εἶτα ταχέως τε καὶ πεφυλαγμένως τὰ καλῶς βȣλευθῆναι δοκȣ̃ντα [92]) ἐκτέλει.

78) τοιȣ̃τος. 79) ἁμαρτάνω. 80) τίθημι. 81) καταρῶμαι. 82) ῥώννυμι. 83) ἐκριζόω. 84) τιμάω. 85) προτιμάω. 86) πονέω. 87) προνοέω. 88) προτίθημι. 89) ὁρίζω. 90) προαιρέω. 91) ἀπέχω. 92) δοκέω.

807. Ὁ περιεσκεμμένος[93]) τὴν ἀπόβασιν ἀδιςάκτῳ ἐλπίδι προλαμβάνων, ὅμως περισκοπεῖ, οὐδ' ὅτιοῦν κατεσπευσμένως πράττει.

808. Ἐνδέχεται βραδὺν ταχέος φθάσαι[94]), βάδην οὖν πορεύεται.

809. Τὰ ἐπίκρυφα οὐκ ἀναφαίνει φρόνιμος, μᾶλλον δὲ ἀποκρύπτει.

810. Πρὸς τὰ διςαζόμενα οὐκ ἀντισχυρίζεται, μηδὲ πεπληροφορημένως κατάφησιν[95]) ἢ ἀπόφησιν.

811. Ὡς ἡ ταχυπείθεια, οὕτω καὶ ἡ ἀπιςία βλαβερὸν, μᾶλλον δὲ ἡ φιλονεικία καὶ ἀπείθεια.

812. Οὐδαμῶς οὖν ἄλλου τι διηγουμένου[96]), ἢ ἐπί τι προτρέποντος, ἤ τινων ἀποτρέποντος, αὐθαδιάζεται, (ἀνυπείκτως ἐναντιοῦται,) ἀλλ' αὐτῷ ὑπακούει, (πειθαρχεῖ.)

813. Προαισθόμενος[97]) ἀτυχίας τινὸς, βέλτιον τὸ τοὺς ἀδικοῦντας[98]) φθάσαι[99]) τοῦ ἀδικεῖσθαι[100]) ἡγεῖται· τοῦτο δὲ πρὸς σοφοῦ.

814. Ἀνωφελὴς γὰρ φυλακὴ, μετὰ τὴν πληγὴν περισκοπεῖν.

815. Ἑκάςου τῶν ἰδίων φροντίζοντος, μηδαμῶς πρὸς τὰ ἑαυτοῦ παρέργως ἔχει.

816. Ὁ ςροφαῖος, (ςρεψίμαλλος) κακοτέχνως ἅπαντα διασοφιζόμενος, ὑπόπτως κακοτροπεύεται.

817. Ὁ πανοῦργος δόλῳ τοὺς τῇ ἁπλότητι ἀφυλάκτους, καὶ μάλιςα τοὺς ἀγαθοὺς εὐαπατήτους βουκολεῖ καὶ παρακρούει.

LXXXIV. Περὶ τῆς σωφροσύνης.

818. Ἡ ἀνομία σύμφυτος ἡμῖν, πρὸς πολλὰ χαίνουσα πολλῶν ἐπιθυμητικῶς ἔχει· ὁ δὲ σώφρων αὐτὴν ἡνιάζει.

819. Ἡ σωφροσύνη μετριοπαθοῦσα[1]) περισσῆς τροφῆς ἀπεχομένη καρτερεῖ.

820. Ὁ γαςρίμαργος, οἰνόφλυξ, παρὰ τὸ δέον κατασπαταλᾷ τε καὶ χειλοποτεῖ· ὁ ἀδηφάγος ἐμφορούμε-

93) περισκέπτομαι. 94) φθάνω. 95) κατάφημι. 96) διηγοῦμαι. 97) προαισθάνομαι. 98) ἀδικέω. 99) φθάνω. 100) ἀδικέω. 1) μετριοπαθέω.

νος [2]) κωμασταῖς συγκωμάζει· ὁ λίχνος, (ἄσωτος, καταφαγὰς) καθηδυπαθεῖ· τὰ ὑπάρχοντα διαφθείρων τρώκτης (λαρυγγιτὴς) ἀκούει· τοιοῦτοι ἀνδράποδα τοῦ ἐπιγαστρίου εἰσίν.

821. Οἱ συμπόται καὶ συμπότιδες τοῦ οἴνου αὐτοκράτου τε καὶ εὐζώρου ἀφθωνότερον, ἀσύμβολοι ὄντες, πίνουσιν.

822. Οἱ πάλαι τὸ μέθυ ὕδατι ἀπλοϊζόμενοι, ἐκέρασαν [3]), νυνὶ δὲ ὅσαι σπατάλαι, τοσοῦτοι ὄλεθροι.

823. Ὁ μέθυσος ἐκ τῆς προτεραίας κραιπαλᾷ· ὁ μεθυστικὸς ὑπὸ σκοτώσεως τρέμει· οἱ νηφάλιοι, ἄοινοι εὖ τῆς διανοίας ἔχουσιν· οἱ μεθυσκόμενοι παραφρονοῦσι, (παρακινητικῶς ἔχουσιν).

824. Οἱ οἰνοφλυγοῦντες [4]) θηριωδῶς βακχεύουσι, σφάλλονται, χρέμπτονται, πτυίζουσιν, ἐμοῦσιν [4]), οὐροῦσι, βδέουσι πλατύ, ἀποσκευάζονται.

LXXXV. Περὶ τῆς ἁγνείας.

825. Ἁγνός ἐστιν ὁ ἀφροδισίων ῥητῶν τε καὶ ἀῤῥήτων ἁγνεύει· τὸ γὰρ ἀσελγαίνειν θηριῶδες.

826. Οὐ μόνον δὲ ἀκολασία καὶ ἀσέλγειά ἐστιν ἡ μοιχεία, μιασμὸς, διαφθορὰ, πορνεία, ἀλλ᾽ ἔτι πᾶσα λαγνεία, μαργοσύνη, καὶ ἐς τὰ ἀφροδίσια ἀκρασία, φιλήματα, ἀνασεσυρμέναι ἐνθυμήσεις.

827. Ὁ μοιχὸς τὰς τῶν πέλας γυναῖκας μοιχεύει· ὁ πόρνος τὸ ἑαυτοῦ λέχος μιαίνει· μοιχὸς ἑαυτῷ παλλακὴν συζευγνύει· ὁ πορνοκόπος εἰς τὰ πορνεῖα φοιτᾷ· αἱ πόρναι τιμῆς τυχούσης τὴν ὥραν διαπιπράσκουσιν· οἱ προαγωγοὶ καὶ μισθώτριαι ἄλλους ἐν ματρυλλίοις καταμιαίνουσι.

828. Φεῦ τῶν κασαλβάδων καὶ πόρνων· παμμίαροί εἰσιν.

829. Ὁ γυναικομανὴς μῶρος, καὶ φρενόληπτός ἐστι.

LXXXVI. Περὶ τῆς μετριότητος.

830. Ὁ μέτριος αἰδημόνως ἔχων, τὴν προπέτειαν φεύγει.

2) ἐμφοροῦμαι. 3) κεράννυμι. 4) οἰνοφλυγία.

Digitized by Google

831. Αἰμύλος ὢν οὐκ ἀδολεσχεῖ, καὶ γὰρ χαρίεις μᾶλλον, ἢ σιγαλέος, ἢ λάλος καὶ μωρολόγος ἐςίν.

832. Οὐκ ἔςιν ἀμείλιχος, ἀπηνὴς, αὐςηρὸς, ἀλλὰ σεμνός.

833. Οὐδένα πέρα τοῦ μέτρου ἐπαινεῖ ἢ ψέγει, οὐδένα λοιδορεῖ, ἀτιμάζει ἢ σκώπτει, λοιδορηθεὶς [5]) δὲ σιγᾷ.

834. Οὐδ' ἐπιορκεῖ, οὐδ' ὀμνύει εἰκῇ· ὀμωμοκὼς [6]) δὲ, εὔορκός ἐςι.

835. Μηδενὶ φορτικῶς ἀντιλογῶν ἀντιςασιάζει, ἢ πράγματα παρέχει, οὐδένα ἑκὼν εἰδὼς [7]) τε λυπεῖ.

836. Φήμην οὐ κατασκεδάννυσι, μᾶλλον δὲ ἠκριβωμένως πυνθάνεται, ταύτῃ δὲ μὴ πάντως διαφοιτώσῃ [8]) ἀπιςεῖ.

837. Ὁ πολυπράγμων ἀλλοτριοπραγμονῶν, τὰ κρυπτὰ, ὧν αὐτῷ οὐδὲν μέτεςιν, (οὐδὲν εἰς αὐτὸν ἀνήκοντα) ἀναζητήσας ἀκριβοῖ [9]) τε καὶ ἐξετάζει.

838. Ἐγγλωττογάςωρ πολυλόγος· φλύαρος, λογολέσχης τὸ ῥεχθὲν [10]) τε καὶ ἄῤῥεκτον φλυαρολογεῖ· ὁ σπερμολόγος (κρόταλος) ὕθλους γραϊκοὺς κωτίλλων ἀθυροςομεῖ· ὁ ἀθυρόγλωσσος λαθραῖα, εὐκρυφῆ, παράβυςα, ἀνέκφορα ἐξαγορεύει· (ἐκφερομυθεῖ·) ὁ σοφιςὴς ἀπατητικὸς, ὁ μῶμος πάντα μωμεῖται [11]).

839. Ὁ ἐσκεμμένος [12]) οὐκ ἄγλωσσος μὲν, ἀλλ' οὐδὲ λαμυρός· (κωτύλος·) ἐν πολυλογίᾳ ματαιότης.

840. Ὁ ταπεινόφρων οὐχ ὑπέροφρυς τυφοῦται [13]) ἢ χαυνοῦται, οὐδ' ἑαυτῷ ἀπονέμει ὃ οὐκ ἔχει, οὐκ ἀλλοτριοφθονεῖ, πορφύρας, διαδήματος, σπουδαρχῶν οὐκ ἀντιποιεῖται, οὐ μεγαλαυχεῖ, οὐ τὰ ἑαυτοῦ ἐπαιωρούμενος δεικνύει ἢ ἐπαινεῖ, οὐ καυχᾶται [14]), οὐκ ἐπαίρεται, οὐχ ἑαυτὸν τῶν ἄλλων προτιμᾷ, μᾶλλον δὲ ἑαυτὸν αὐτοῖς ὑφίησι καὶ ἐκταπεινοῖ [15]), διὰ ταῦτα εἰς ἀξίαν προαχθήσεται [16]).

841. Τὸν ἔπαινον δημοτικὸν φαυλίζει, οὐ ζητεῖ ὡς ταπεινοί τινες τοῦ ὄχλου θεραπευταὶ, οὐδ' ἄλλοις ἑαυτοῦ προκριθεῖσι [17]) δυσχεραίνει, ἄρχειν γὰρ οὐκ ἐπιβάλλεται.

5) λοιδορέω. 6) ὄμνυμι. 7) εἴδω. 8) διαφοιτάω. 9) ἀκριβόω. 10) ῥέζω. 11) μωμοῦμαι. 12) σκέπτομαι. 13) τυφοῦμαι. 14) καυχῶμαι. 15) ἐκταπεινόω. 16) προάγω. 17) προκρίνω.

Digitized by Google

842. Ἡ παιδιὰ, χαριεντότης, αἱμυλία, ἀςειολογία τοῖς εὐτραπέλοις πρέπει· ἡ ἀγροικία βαρβαρικόν.

843. Τὰ βωμολοχεύματα, (ἐπικερτομήματα,) οὐδ' ἧττον τὴν κολακείαν παρασιτικὴν, μάλιςα φυλακτέον [18]) ἐςίν.

844. Οἱ σαρκασμοὶ, καταμωμήσεις τοῖς γελοιαςαῖς πρέπουσιν.

845. Εὔτροπον καὶ κόσμιον τὸ μειδιᾷν: (ὑπογελᾷν:) καγχάζειν πλατὺ ἄγροικον.

LXXXVII. Περὶ τῆς αὐταρκείας.

846. Ὁ φιλάργυρος ἀδίκως καὶ ἀγνωμόνως φιλοπλουτεῖ, Θεὸς δὲ οὐρανόθεν τοὺς χρηςοὺς πλουτίζει.

847. Τί ὄφελος πλούτου ἀμέτρως συσσωρευθέντος [19]); οὐχὶ αὐτὸς κακῶν ἐρέθισμα καὶ ἐμπύρευμα; τὰ κακῶς συναθροισθέντα [20]) κακῶς διέῤῥευεν [21]).

848. Οὕτω πλούσιοί τινες ἀφρονοῦσιν [22]), ὥςε ὑπερπλουτοῦντες [23]), (εὐποροῦντες ἁπάντων,) καὶ κιςὰς χρημάτων, φωριαμοὺς κειμηλίων, κιβωτοὺς καμάρας τε κατασκευῆς γεμούσας κτώμενοι, ὅμως ἀπορίαν φοβοῦνται [24]).

849. Πλουτῶν χρημάτων τοὺς πένητας ἀντευεργέτει· εἰ δὲ μὴ, ἀπ' ὀλίγων ὀλίγα, εἰ οὐ δαψιλῶς, ἀλλ' ἐλευθερίως.

850. Ἄμεινον ἐλευθέριον εἶναι, ἢ φειδωλὸν, τὸ δοῦναι [25]) γὰρ μακαριώτερον τοῦ λαβεῖν [26]).

851. Ὁ χρηςὸς ὀλίγοις ἀρκεῖται [27]), οὐ σμικρολόγος, ἀλλὰ φειδωλός ἐςιν.

852. Ἡ ὀλιγαρκία ὅσον τέλος ἐςὶν, εἰ ὁ ἄσωτος εἰδείη [28]), οὐκ ἂν τὴν πατρῴαν οὐσίαν ἡδυπαθείᾳ καὶ τύφῳ διασκορπίσειεν [29]).

853. Ἡ ζημία πτωχίζει, τὸ δὲ κέρδος πλουτίζει.

854. Ἅπαντα οὖν τὰ ἐκδοθέντα [30]) καὶ ληφθέντα [31]) ἐν ἀναγραφαῖς, βιβλίῳ λογιςικῷ σημείου [32]).

18) φυλάττομαι. 19) συσσωρεύω. 20) συναθροίζω. 21) διαῤῥέω. 22) ἀφρονέω. 23) ὑπερπλουτέω. 24) φοβοῦμαι. 25) δίδωμι. 26) λαμβάνω. 27) ἀρκέω. 28) εἴδω. 29) διασκορπίζω. 30) ἐκδίδωμι. 31) λαμβάνω. 32) σημειόω.

Digitized by Google

LXXXVIII. Περὶ τῆς δικαιοσύνης συναλλακτικῆς.

855. Ἡ δικαιοσύνη ἑκάςῳ τὸ ἴδιον ἀπονέμει.

856. Ὅςις ἂν ἄλλῳ τινὶ συναλλάξας[33]) ὑπέσχετό[34]) τι αὐθεκεσίως, ἢ ὑπ' ἄλλȣ δεηθέντος[35]) ἐπαχθεὶς[36]), τȣ̃το ἄνευ παραγραφῆς ἀκριβῶς τηρητέον[37]), καὶ τοῖς ἔργοις τὴν διὰ τῶν λόγων ἐπαγγελίαν κυρωτέον ἐςίν.

857. Εἰ ἐπερωτῶντί[38]) τι καθομολογȣ́μενος[39]) ὑπέσχȣ[40]), κἂν σμικρὸν ᾖ[41]), αὐτῷ ὀφείλεται.

858. Τὴν παρακαταθήκην ἀποδοτέον[42]) ἐςὶν, ȣ̓ δεῖ ἔξαρνον περὶ αὐτῆς ἀποκρυβείσης[43]) γενέσθαι[44]).

859. Οὐδὲν ἀλλότριον τῷ κτήτορι ἀσυνειδήτως ἐξιδιάζȣ[45]).

860. Ἀπόδος[46]) τὸ χρησθὲν[47]), ὅσον γε δυνατὸν ὁλόκληρον.

861. Οὕτω καὶ τὸ δανειζόμενον, ἄλλο μὲν, ἰσότιμον δὲ ἀπόδος.

862. Τῷ δεομένῳ δανείζων χειρόγραφον, ἀῤῥαβῶνα, ἐνέχυρον, ἐγγυητὴν ἢ δανειακὸν γραμμάτιον αἴτει.

863. Διὰ τὸ θνητὸν καὶ ἄπιςον φυλακῆς μεγίςη χρεία ἐςίν.

864. Οὐ χρήςης, ἀλλὰ τοκιςὴς παρὰ τὸ κεφάλαιον τόκον ἢ ȣ̓γγιάριον ἢ ἡμιȣγγιάριον λαμβάνει· πάντων κάκιςος[48]) δὲ ἀνατοκισμοῖς τὸν ὀφειλέτην κατεσθίει.

865. Ἑαυτὸν ἀδικεῖ ὁ ὑπέρχρεως, ἀναγκαζόμενος τὸ δάνειον μεταγράφειν, ἢ τὴν ȣ̓σίαν ἀποπεφασμένως πωλεῖν ἢ χρεωκοπεῖν.

866. Τὸ χρέος ȣ̃ν ὡς τάχιςα διαλύων, ἀπόδειξιν τῶν χρεῶν, ἢ ἀποχὴν ἢ ἀθώωσιν αἴτει.

867. Ἡ κλοπὴ, ἁρπαγὴ, ἱεροσυλία, τὸ ἐκ κοινȣ̃ κλέμμα, σωματεμπορία, ἀπελασία, ἐν τῇ ἐντολῇ, ȣ̓ κλέψεις[49]), ἀπαγορεύονται.

868. Τῶν γὰρ ἰδίων ȣ̓δένα δεῖ ςερεῖσθαι· ὁ δὲ τὰ δημόσια κλέπτων, εὐθύνας ὑπέχει.

33) συναλλάττω. 34) ὑπισχνȣ̃μαι. 35) δέομαι. 36) ἐπάγω. 37) τηρέω. 38) ἐπερωτάω. 39) καθομολογȣ̃μαι. 40) ὑπισχνȣ̃μαι. 41) εἰμί. 42) ἀποδίδωμι. 43) ἀποκρύπτω. 44) γίνομαι. 45) ἐξιδιάζομαι. 46) ἀποδίδωμι. 47) χράω. 48) κακός. 49) κλέπτω.

LXXXIX. Περὶ τῆς δικαιοσύνης διανεμητικῆς.

869. Ἐπὶ τοῖς δώροις καὶ κολάσει πάντες τὸ καθῆκον ἀποτελȣ͂σιν [50]).

870. Ὁ ȣ͂ν ἐπαινετὰ διαπραξάμενος, ἐπαίνȣ, συςάσεως, δωρεῶν ἀξιȣ͂ται [51]) · μισθὸς τȣ͂ πόνȣ αὐτῷ χρεωςεῖται · ὁ δὲ αἰσχρȣργήσας [52]) ἐπίπληξιν, Φαυλισμὸν, προπηλακισμὸν, κόλασιν προσάγεται.

871. Ὁ ἄκων καὶ ἀγνοῶν κακȣργήσας [53]), ἄξιος ἐλεηθῆσαι [54]) ἐςὶ · τῇ εὐηθείᾳ τȣ͂το προσλογίζȣ [55]), μηδαμῶς δὲ αὐτῷ τὸ πταῖσμα ὀνείδιζε · ὁ ἑκȣσίως τε καὶ συμβȣλευτικῶς ἁμαρτάνων, ἄξιος κολασθῆναι [56]) ἐςιν · ὁ δὲ ὑπ' ἄλλων ἐποτρυνθεὶς [57]), συγγνωςὸς ȣ̓κ ἐςι.

872. Μὴ θλίβε τὸν κακοπαθȣ͂ντα [58]), (δύσθυμον,) μᾶλλον δὲ αὐτῷ δεηθέντι [59]) ἐπικȣ́ρει.

873. Ὁ ὑπȣργίας δεόμενος ἱκετεύειν, ἀντιβολεῖν, λιπαρεῖν μὴ ὀκνῇ.

874. Ὁ μεγαλιζόμενος καὶ ὀΦρυάζων πτωχὸς ȣ̓δὲν τῷ πτωχεύειν λαμβάνει, ὁ ἀκαίρως ἄλλȣς ἐνοχλῶν μισȣ́μενος [60]) ἁπάντων ἀπελαύνεται.

875. ΕἰληΦὼς [61]), ἃ ᾔτεις [62]), παντὶ τρόπῳ εὐχαρίςει, ἀποτυχὼν [63]) δὲ αὐτῶν δι' ἱκανὰς αἰτίας, μὴ ἀπόκναιε, μὴ γόγγυζε.

876. Ὅ τι τίς σοι χαριζόμενος αὐτομάτως δίδωσι, μετρίως πρῶτον, ὡς μὴ ἀποδεξόμενος [64]), ἀνάνευε, αὐθαδῶς δὲ μὴ ἀπόπτυε, ὅπως μὴ ὑπεροπτικῶς ἔχειν δοκῇς [65]).

877. Τῆς εὐχαριςίας κλίμακες, μνήμη, ἔπαινος, ἀντίχαρις.

878. Τὸ ἀντιχαρίζεσθαι πρὸς πλȣσίων ἐςί.

879. Τοῖς ξένοις ξένια, τοῖς δὲ ἐκ γένȣς προσήκȣσιν ἐπινομίδες ἀποςέλλονται.

880. Τȣ̀ς ἀξιώματι πρȣ̈χοντας τίμα [66]), αἰδȣ͂ [67]), ἀπόβλεπε, μηδενὸς ἀσθενεςέρȣ [68]) ὑπερόπτȣ [69]).

50) ἀποτελέω. 51) ἀξιόω. 52) αἰσχρȣργέω. 53) κακȣργέω. 54) ἐλεέω. 55) προσλογίζομαι. 56) κολάζω. 57) ἐποτρύνω. 58) κακοπαθέω. 59) δέομαι. 60) μισέω. 61) λαμβάνω. 62) αἰτέω. 63) ἀποτυγχάνω. 64) ἀποδέχομαι. 65) δοκέω. 66) τιμάω. 67) αἰδȣ͂μαι. 68) ἀσθενής. 69) ὑπερόπτομαι.

881. Ὠφέλει πάντας, ὀδένα βλάπτε, πᾶσιν εὐφήμει.

XC. Περὶ τῆς ἀνδρίεας.

882. Ὁ ἐν εὐτυχίαις τε καὶ ἀτυχίαις ἐναδιαφορῶν, μεγαλόφρων ἐςίν.

883. Οὐδὲν τῶν τυχόντων 70) θαυμάζει, τὰ αἰφνίδια ὀκ ἐπτόηται 71), πόνους αὐτῷ προσήκοντας ἀσμένως ἀποδέχεται, προθύμως ὑπομένει, ἀφειδὴς τῦ βίυ, καὶ φιλοκίνδυνος ἀνάγκης ἀφύκτυ ἐπειγύσης, ῥιψοκίνδυνος δὲ ὀκ ἔςιν.

884. Ὃ ἐπεχείρησεν 72), ἐκτελεῖ, κεκμηκὼς 73) καὶ καταπονηθεὶς 74) μικρὸν ἀναπαύεται, ἵνα μὴ καμαστηρῶς τε καὶ περισσῶς ἀσχολόμενος ἀποκάμη 75).

885. Ὁ μικρόψυχος δὲ τῇ εὐπραξίᾳ ἐπαίρεται, τῇ δυσπραξίᾳ ἀθυμεῖ, τὰ ἀπροσδόκητα πτοεῖται 76), πρὸς ἅπαντα ψοφοδεὴς καὶ μεμψίμοιρος μύζειν (χρύζειν) ὀ τολμᾷ.

886. Ὅσον ἀνδρεῖος τῦ ἀποδειλιῶντος 77) διαφέρει; ὁ μὲν τὸ καθῆκον ἐπιμελῶς καὶ ἐσπυδασμένως πράττει, ὁ δὲ ἀπάντων ἀποσπυδάζει· ὁ μὲν μηδὲν ἀναβαλλόμενος τὸ δέον πράττει, ὁ δὲ ἀμβολιεργὸς εἰς τὴν ὑςεραίαν πάντα ἐκκρύει· ὁ μὲν τῇ καλῇ προαιρέσει βεβαίως ἐμμένει, ὁ δὲ ἀβέβαιος καὶ ταχύβυλος αὐτῆς ἐξίσαται 78) καὶ συνελόντι 79) γ' εἰπεῖν 80), ὁ μὲν πανταχῦ ἀκμάζει, ὁ δὲ ναρκᾷ καὶ ἀναισθήτως ἔχει.

887. Τοῖς ὀκνηροῖς, καὶ σχολὴν ἄγυσιν ἀεὶ ἑορταί εἰσι, οἵ γε ἡμερῶν ἀνεόρτων τε καὶ ἑορτασίμων περιπλανῶνται.

888. Ὁ δρασήριος καὶ φίλεργος ἐν αὐτῇ τῇ σχολῇ ἄσχολος, τὴν ἀκηδίαν καὶ ἀργίαν φεύγει.

XCI. Περὶ τῆς ὑπομονῆς.

889. Τί συμφέρει τληπάθειαν καὶ ἀθλιότητα ἀποδύρεσθαι, ἀπαλλαγῆς μὴ παρόσης 81);

70) τυγχάνω. 71) πτοῦμαι. 72) ἐπιχειρέω. 73) κάμνω. 74) καταπονέω. 75) ἀποκάμνω. 76) πτοῦμαι. 77) ἀποδειλιάω. 78) ἐξίσημι. 79) συναιρέω. 80) ἔπω. 81) πάρειμι.

890. Ὁ ὑπομονητικὸς στενάζει, δακρύει μὲν, ἀλλ' οὐκ ὀλοφύρεται (ὀλολύζει,) οὐ κλαυθμυρίζει, οὐ σχετλιάζει, οὐ τὸ σῶμα ἀπεσκληκὼς [82]) ἀτροφεῖ, (καχεκτεῖ,) οὐχ ἑαυτὸν κατασκελετεύει.

891. Ἀδικούμενος [83]) οὐκ ἀνταδικεῖ, οὐκ ἐκδικεῖ ἑαυτὸν, ἀλλ' ἀνατλᾷ, μειώσας μᾶλλον, ἢ ἐπὶ τὸ μεῖζον τὰ ἀδικήματα δεινώσας, τοῖς ἐναντίοις, καί περ πάνδεινα πεπονθὼς [84]), οὐκ ἀμείβεται [85]).

892. Περὶ μὲν τῶν ἀδικημάτων ἀγανακτεῖ, καὶ τοῖς κακόνοις [86]) ἀντιλέγει, ἀλλ' οὐκ εἰς ἐκδίκησιν καὶ ὀργὴν ἀναῤῥήγνυται, οὐκ ὀργισθεὶς [87]) καὶ πιμπράμενος πικρῶς ἄλλων κατατρέχει, (ἐπιλαμβάνεται,) εὔοργος μὲν, ἀλλ' οὐκ ἐπιθετικός ἐστι.

893. Τὴν ὀργὴν κατέχειν, συγγινώσκειν, τῶν ἐχθρῶν φείδεσθαι, ἀοργησίας ἐστί· φλεγμαίνεσθαι, φρυάττεσθαι, μαίνεσθαι, ἀπειλεῖν κακὰ ἄλλοις, καταρᾶσθαι [88]) ὁ τοῦ θυμοῦ ἀκρατὴς εἴωθεν [89]).

894. Ὁ τοῦ θυμοῦ κρατεῖν ἀδυνατῶν τοῦ φρονεῖν ἐξέστηκεν [90]).

895. Ὁ δὲ γενναῖος τὴν πρᾳότητα τῆς ὠμότητος, τὴν ἠπιότητα τῆς ἀγριότητος, τὴν χρηστότητα τῆς ἀπηνείας, τὴν εὐαρέστησιν τῆς ὀργιλότητος προαιρεῖται [91]).

896. Ὠμότης, ἀπανθρωπία δυσχείρωτος καὶ δυσμείλικτος θηριῶδες· ἡ δὲ ἀνάγκη βιαιότατον.

XCII. Περὶ τῆς εὐσταθείας.

897. Ἡ στερρότης ἰσχυρῶς τῇ καλοκἀγαθίᾳ ἐμμένει, ἡ δὲ κουφότης ἀεὶ ἀστατεῖ.

898. Πολὺ τὸ εὐσταθεῖν τοῦ φιλονεικεῖν διαφέρει.

899. Ἐπιχειροῦντός [92]) σέ τινος καλῆς προαιρέσεως ἐκκρούειν, τῆς γνώμης ἀμεταβλήτως καὶ ἀμεταπείστως ἔχε, ἕως ἂν ἅπαντα ἐμποδίσματα ἐκκόψῃς [93]) καὶ ἀπωθῇ [94]).

900. Ἀπρεπὲς τὸ κυρωθὲν ἀποκυροῦν [95]).

82) ἀποσκλῆμι. 83) ἀδικέω. 84) πάσχω. 85) ἀμείβω. 86) κακόνοος. 87) ὀργίζω. 88) καταρῶμαι. 89) ἔθω. 90) ἐξίστημι. 91) προαιρέω. 92) ἐπιχειρέω. 93) ἐκκόπτω. 94) ἀπωθέομαι. 95) ἀποκυρόω.

XCIII. Περὶ τῆς Φιλίας τε καὶ Φιλανθρωπίας.

901. Εἰ τὴν συμβίωσιν τῷ συμβιωτῇ ἐπιτερπῆ θέλεις εἶναι, εὐπροσήγορον καὶ φιλάνθρωπόν σε τοῖς ἥττοσι, θεραπευτικὸν τοῖς ὁμοτίμοις, ὑπήκοον σὺν αἰδοῖ [96]) τοῖς κρείττοσι πάρεχε, καὶ πάντων οὕτως εὔνοιαν κτήσῃ [97]).

902. Ἐπισκεπτόμενος ἢ παρελθὼν [98]) τινα, φιλοφρόνως ἀσπάζου [99])· τὸν ἀσπαζόμενον ἀντασπάζεσθαι, ἢ τὸν ἀποχωροῦντα [100]) (ἀπιόντα [1]) προπέμπειν μὴ ἀπαξίου [2]).

903. Τῷ ἐρωτῶντι [3]) χρηστῶς, ἡδέως, μειλιχίως, ἐπιεικῶς, τοὐλάχιστον κατανεύων ἢ ἀπονεύων, ἀποκρίνου [4]).

904. Τὸν λαλοῦντα [5]) μὴ διάκοπτε· ἐπιλαθομένῳ [6]) τινὸς, ἂν εἰς νοῦν ἔλθῃ [7]), ὑπόβαλλε· τόν σε προσδοκῶντα [8]) μὴ κάτεχε.

905. Καδδύναμιν χαρίζεσθαι καὶ βοηθεῖν τοῖς δεομένοις ἀμισθὶ μὴ κατόκνει.

906. Τῷ ἐνδεεῖ βουλῆς συμβούλευε, παραμυθίας, παραμυθοῦ [9]), βοηθείας, βοήθει [10]), μηδεμίαν διατριβὴν ποιούμενος [11]), χειροτονίας, χειροτόνει, καὶ ἅπασι φιλιάσεις [12])· τοὺς ἀσθενοῦντας [13]) ἐπισκέπτεσθαι καὶ παραμυθεῖσθαι πρὸς θεολόγων ἐστίν.

907. Ἔβλαψέ [14]) σέ τις; μὴ προσποιοῦ [15]), καὶ ἐρυθριάσει [16])· εἰ αὐτῷ ὧν ἥμαρτεν [17]) μεταμέλει, συγγνῶθι [18]), τότε βεβαιότερον φίλον ἕξεις [19]).

908. Προσκρούσας τινὶ μὴ αἰσχύνου [20]) δεξιοῦσθαι [21]), προσαγορεύειν, εἰς διαλλαγὰς χωρῆσαι [22]), ἀπεύχεσθαι οὐκ ἀφοσιώσεως ἕνεκα, ἢ κατ᾽ ἐπιπολῆς, ἀλλὰ σπουδῇ.

909. Τὴν ἔχθραν οὐκ ἔα παλαιοῦσθαι [23]), ἵνα μὴ μῖσος ἀποβῇ [24]).

96) αἰδοῦς. 97) κτῶμαι. 98) παρέρχομαι. 99) ἀσπάζομαι. 100) ἀποχωρέω. 1) ἄπειμι. 2) ἀπαξιόω. 3) ἐρωτάω. 4) ἀποκρίνομαι. 5) λαλέω. 6) ἐπιλανθάνομαι. 7) ἔρχομαι. 8) προσδοκέω. 9) παραμυθοῦμαι. 10) βοηθέω. 11) ποιέω. 12) φιλιάω. 13) ἀσθενέω. 14) βλάπτω. 15) προσποιοῦμαι. 16) ἐρυθριάω. 17) ἁμαρτάνω. 18) συγγινώσκω. 19) ἔχω. 20) αἰσχύνομαι. 21) δεξιοῦμαι. 22) χωρέω. 23) παλαιόω. 24) ἀποβαίνω.

Digitized by Google

910. Τοῖς συμβιωταῖς ὁμόνοια πρέπει, πῶς ἂν ἄλλως συμβιοῦν [25]) δύναιντο [26]).

911. Οὐκ ἐνδέχεται τοὺς ὁμοτραπέζους ὅλως μὴ στασιάζειν, διαφέρεσθαι, ἑτεροδοξεῖν· δεῖ οὖν ὡς τάχιστα [27]) τὴν χάριν καὶ ὁμόνοιαν ἀνανεοῦν [28]).

912. Εὐτυχεῖ τις; μὴ φθόνει, μᾶλλον δὲ εὐφήμει· ἀτυχεῖ; ἐλέει· πρὸς ἐλεήμονος τοὺς ἀθλίους ἐλεεῖν.

913. Τὴν ἀλήθειαν ἀγάπα, (περὶ αὐτὴν σπούδαζε,) ψεύδους γὰρ οὐδὲν σχετλιώτερον καὶ βδελυρότερον· ὁ τὰ ψευδῆ ἐπινοῶν [29]) μιαρός ἐστιν.

914. Εἰδώς [30]) τι τῶν κρυφίων, μὴ μήνυε, πρὶν ὑφ' ἁπάντων θρυλλεῖσθαι, πολὺ δὲ ἧττον τὰ παρακεκαλυμμένα [31]) τῷ λόγῳ διαδίδοθι [32]) ἢ στηλίτευε, καὶ περ ἄλλων περὶ τούτων πολυπραγμονούντων [33]) σίγα [34]), φημὶ, σιγὴ ἀβλαβής σε ὠφελήσει.

915. Ἐν ἱλαροῖς μὴ σκύθραζε, οὐδ' ὑπερχάρηθι [35]).

916. Μὴ γίνου [36]) φιλοσκώμμων· χαριεντίζεσθαι χρὴ, οὐ σκώπτειν· μὴ παρόντα [37]) τινὰ ἐρέθιζε, μηδ' ἀπόντα λοιδόρει.

917. Τὸ ἐρίζειν περὶ τῶν τυχόντων [38]), καὶ περὶ καπνοῦ στενολεσχεῖν οἱ ἄγροικοι καὶ δικοῤῥάφοι, διαβάλλειν οἱ προδόται, μυθηταὶ, στασιασταὶ, περισύρειν, ἀποκναίειν, ὠθίζειν κοπρολόγοι καὶ χλευασταὶ, λοιδορεῖν, λωβεύειν οἱ τριξῶλαι καὶ τριοβολιμαῖοι ἀλάστορες εἰώθασι [39]).

XCIV. Περὶ τῆς ἀκεραιότητος.

918. Φιλιωθείς τινι, ἀκάκως, ἁπλάστως, ἀδόλως αὐτῷ συμβίου· τίς γὰρ δόξα φίλον καὶ εὔνουν ἄνδρα [40]) κατασοφιστεῖν;

919. Πιστῷ ἑταίρῳ ἀκίβδηλος καὶ ἀνύπουλος γίνου [41])· ὁ ἀνδρακόβαλος γὰρ καὶ πανοῦργος ἑαυτῷ κακὸν μηχανᾶται [42]).

920. Οὐκ ἀπόντος ἀλλὰ παρόντος εὐκαίρως ἄνευ πικρότητος ἐπιλαμβάνου [43]).

921. Οὐδὲν τῆς κολακείας τῇ φιλίᾳ ἐναντιώτερον.

25) συμβιόω. 26) δύναμαι. 27) ταχέως. 28) ἀνανεόω. 29) ἐπινοέω. 30) εἴδω. 31) περικαλύπτω. 32) διαδίδωμι. 33) πολυπραγμονέω. 34) σιγάω. 35) ὑπερχαίρω. 36) γίνομαι. 37) πάρειμι. 38) τυγχάνω. 39) ἔθω. 40) ἀνήρ. 41) γίνομαι. 42) μηχανῶμαι. 42) ἐπιλαμβάνομαι.

Digitized by Google

922. Ὁρᾷς τι ἔγκλημα; μὴ πρόσχημα ποίει, μᾶλλον δὲ νουθέτει, ἐπιτίμα· διὰ τί μὴ ὁρᾷν προσποιήσαιο [43]);

923. Τὸν πέλας ἁμαρτόντα [44]) φανερῶς ἐπίπλησσε καὶ ἐπανόρθου [45])· τὸ κολακεύειν κερκώπειον.

924. Τῷ χρήσιμα λαλοῦντι [46]) συντίθεσο [47]), τῷ δ' ἄχρηστα φλυαροῦντι νοῦν οὐ πρόσεχε.

925. Θωπείαν, παρευρέσεις τοῖς ἐπιβουλευταῖς καὶ ἐπιόρκοις, λήρους, στωμύλματα τοῖς φλυάροις καὶ δημοκόποις λεῖπε· σὺ ἁπλῶς, ἀκιβδήλως, φρονίμως πάντα πράττε.

926. Τὴν ἀλήθειαν μὴ αἰσχύνου [48]) κατὰ τὸ συνειδὸς ἐλευθέρως ὁμολογεῖν· διὰ τί ὀρκίζεσθαι θέλοις;

927. Πρὸς ἐκείνους, ὧν ἁπλότητα οὐκ ἀκριβῶς κατέμαθες [49]), φιλίαν οὐ σύνθες [50]), ἄλλως γε εὐτελὴς καὶ ἀπόβλητος ἔσῃ.

928. Τοὺς ἀγνώστους μὴ θώπευε, ἵνα μή σε ἀρεσκευόμενον ἐπιβουλεύειν αὐτοῖς ἡγούμενοι παραγωγὴν φοβοῖντο [51]).

XCV. Περὶ τῆς πεπαιδευμένης ὁμιλίας.

929. Σχολάζων συνομίλῳ τινὶ πρόσιθι [52]), τὸν δὲ μισοῦντά [53]) σε μὴ ἐπισκέπτου [54]), μακρὰ χαίρειν αὐτῷ μᾶλλον φράζε.

930. Οὐκ ἐπονείδιστον ἡγοῦ [55]) τὴν τοῦ ἀλλογενοῦς καὶ δημοτικοῦ ἀνδρὸς εταιρίαν, εἰ χρηστὸς καὶ ἁρμοστὸς σοί ἐστι· τοῖς δ' ἀτίμοις μὴ προσομίλει.

931. Τὰς ἑταιρίας ἀνειμένας παραιτοῦ [56]), τὰ γὰρ ἤθη χρηστὰ φθείρουσιν.

932. Οἱ λόγιοι μελετῶντες [57]) ἢ διαλεγόμενοι περιπάτοις χαίρουσιν.

933. Ἀχθόμενος τῷ ἐν ἐφήλῳ περιπατεῖν, ἢ ἡλιάζεσθαι, ἐν εὐσκίῳ κάθησο [58]).

934. Κάλλιστον τοῖς ἀποῦσι [59]) συνδιαλέγεσθαι, οὐδ' αὐτοῖς διὰ γραμματοφόρων, ἀλλὰ γραμμάτων ἅπαντα μηνύειν.

43) προσποιοῦμαι. 44) ἁμαρτάνω. 45) ἐπανορθόω. 46) λαλέω. 47) συντίθημι. 48) αἰσχύνομαι. 49) καταμανθάνω. 50) συντίθημι. 51) φοβοῦμαι. 52) πρόσειμι. 53) μισέω. 54) ἐπισκέπτομαι. 55) ἡγοῦμαι. 56) παραιτοῦμαι. 57) μελετάω. 58) κάθημαι. 59) ἄπειμι.

935. Οἱ παλαιοὶ ἐν κηρώμασι τὰ γράμματα διατυπȣ̃ντες [60]) τȣ̃ ἐξαφανίζειν, σὺν αὐτοῖς τȣ̀ς γραμματοφόρȣς ἀπέςειλαν [61])· ἡμεῖς δὲ τȣ̃ χάρτȣ καὶ μέλανος [62]) πλεῖον ὀνάμεθα.

936. Ἡ ἐπιςολὴ μακρὰ ἐπτυγμένη [63]), ἵνα μὴ ἀναγνωσθῇ [64]) πλὴν ὑπ᾽ ἐκείνȣ, ȣ̃ ὄνομα ἐπιγραφθὲν [65]) ἔχει, τῇ σφραγίδι σφραγίζεται· ταύτην ἐκεῖνον δεῖ ἀποσφραγίζειν, ὃν ἐπιγραφὴ δείκνυσι.

937. Τὸ ὄνομα, ἐπώνυμον, πατρωνυμικὸν προςίθεται [66]), εἰ δοκεῖ.

938. Ἡ σχέδη ἀσφράγιςός ἐςι.

XCVI. Περὶ τῶν παιγνίων.

939. Ὅπως μὴ ὀλιγοδρανίᾳ καὶ παρακμῇ παρανευρισθεὶς [67]) ἀποκάμνῃς, (ἐξαδυνατῇς, ἐξασθενίσῃ, [68]) τῶν σπȣδαίων ἐνίοτε ἀπεχόμενος τοῖς ὁμήλιξιν (οἱ μὴ ἥλικες σπανίως ἀλλήλοις σύνεισι) σύμπαιζε, καὶ σεαυτὸν ἐξασθενιζόμενον (ἀσθενȣ̃μενον) [69]), συλλέγȣ [70]) καὶ ἀνακομίζȣ [71]).

940. Τὰ θεάματα τέρπει, ἡ κίνησις ζωγρεῖ.

941. Εὐτραπελίαις, ἀποφθέγμασιν, αἰνίγμασιν ἐπιςρεφῶς ἁμιλλᾶσθαι [72]) διορατικὸν καὶ ἀγχίνȣν· σφαίρᾳ, ἁρπαςῷ, κωρύκῳ, φαινίνδα ἐν σφαιριςηρίῳ, κώνῳ, τροχῷ, ςρόμβῳ, φυσητῆρι ἀκτίνῳ καὶ τηλεβόλῳ σφαιριδίων ςυπίνων, σφαιριδίοις, μυΐνδα, αἰωρήσει, βασιλίνδα, ἀποδιδρασκίνδα, κινδαλισμῷ παίζειν, παίδειον· χάρταις παιςικοῖς, ἀςραγάλοις, (κύβοις, πεσσοῖς,) κυβευτικόν· τȣ̀ς δακτύλȣς ἐπαλλάττειν Ἰταλιωτῶν ἔθος· ἀσκωλιασμὸς παίγνιον Ἐμπȣ́σης· πεσσονομεῖν ἐργῶδες.

942. Πεσσῶν ἀκινήτων ὄντων, φρȣ̃δα πάντα.

943. Τὸ χορεύειν ἀκόλαςον καὶ μισητόν.

944. Ὁ καλοβάτης τὰ βήματα ἐπιμήκη ἐπὶ καλοβάθρων βάλλει.

945. Οἱ παλαιςαὶ, ἀθληταὶ, πεταυριςαὶ πάνυ τολμηροί· τολμηρότεροι ἔτι σχοινοβάται.

946. Οἱ δρομεῖς ἀπὸ τῆς γραμμῆς (ἀφετηρίας) πρὸς τὸ τέρμα σπεύδȣσιν· ὁ πρῶτος τὸ βραβεῖον λαμβάνει.

60) διατυπόω. 61) ἀποςέλλω. 62) μέλαν. 63) πτύσσω. 64) ἀναγινώσκω. 65) ἐπιγράφω. 66) προςίθημι. 67) παρανευρίζω. 68) ἐξασθενίζω. 69) ἀσθενέω. 70) συλλέγω. 71) ἀνακομίζομαι. 72) ἁμιλλῶμαι.

947. Ἄλλοι γραμμήν τινα διαγράφουσιν, ἧς ἁπτόμενοι ὑφίστανται 73)), ὁ δὲ παρατρέχων, ἢ ταύτης ὑφιστάμενος, νικᾶται.

948. Ἐν ἱπποδρόμῳ ἱπποδρομίᾳ, ἐν ἀγωνιστηρίῳ παλαίσματι ἀγκυρίζοντές τε καὶ ὑποσκελίζοντες ἀλλήλους ἠγωνίζοντο 74)).

949. Οἱ μονομάχοι καὶ πύκται ἐν παλαίστρᾳ ὑπ' ἀθλοθέτη μάχονται.

950. Δυοῖν εἰς τὰς χεῖρας συναπτόντοιν, μονομαχία ἐστὶ, πανολέθριος ἑτέρου θανόντος 75)).

951. Γόης, (θαυματοποιὸς) ταχύτητι τῆς χειρονομίας καὶ σχηματοποιήσεως τοὺς ὀφθαλμοὺς ἀπατᾷ καὶ θεωμένους 76)) φενακίζει· φενακισμὸς πάντα, οὐ θαύματα.

952. Ὁ μῖμος γελοίων προσωπεῖον ἐνδὺς 77)) ἄλλους μιμεῖται 78)).

953. Ἡ κωμῳδία δυσχερῆ πράγματα σὺν τερπνῇ καταστροφῇ, ἡ τραγῳδία σὺν γοερᾷ προτίθησι.

954. Τὰ θέατρα, ἀμφιθέατρα πρόσκαιρα καὶ μόνιμα ἐν ἐμφανείᾳ ἐστίν· ἡ σκηνὴ χορηγίοις καλύπτεται· ἡ ὀρχήστρα τοῖς ἐν ἀξιώματι, τὸ δὲ θεωρητήριον τῷ ὄχλῳ συμμίκτῳ ἀνοίγεται· ἡ θυμέλη ἐν προσκηνίῳ, τὸ ἔδαφος ἐν ᾧ οἱ μῖμοι θεατρίζουσι· τὸ θεωρικὸν ὑπὸ τῶν θεωμένων δίδοται 79)).

XCVII. Περὶ τοῦ θανάτου τε καὶ ταφῆς.

956. Τῶν ἐπιθανάτως ἐχόντων σημεῖον ὁ λήθαργος καὶ τῶν ὀφθαλμῶν ἔμπτωσις.

957. Ὦ θνητοὶ, πόσος τίς ὑμῶν ἐνθυμεῖται 80)), ἐκ στιγμῆς τὴν ἀϊδιότητα κρέμασθαι;

958. Ὡς τάχιστα 81)) γὰρ τοῦ τῆδε βίου μετέστης 82)), καὶ ἀπεπαύου 83)), ἡ ψυχή σου εἰς οὐρανὸν ἢ εἰς τάρταρον ἀπελεύσεται 84)).

959. Ὁ νεκρὸς κατὰ τὰ νεκύσια ὑπὸ τῶν νεκραλειπτῶν ἀλειφόμενος, πενθικῶς ἐνδυόμενος, καὶ εἰς φέρετρον τεθεὶς 85)) ὑπὸ τῶν νεκροφόρων ἐκφέρεται.

73) ὑφίσταμαι. 74) ἀγωνίζομαι. 75) θνήσκω. 76) θεῶμαι. 77) μιμοῦμαι. 78) ἐνδύνω. 79) δίδωμι. 80) ἐνθυμοῦμαι. 81) ταχέως. 82) μεθίσταμαι. 83) ἀποπαύομαι. 84) ἀπέρχομαι. 85) τίθημι.

Digitized by Google

960. Ἡ ἐκφορὰ πρὸς τὸ κοιμητήριον σὺν πομπῇ νομιζομένη γίνεται, θάπτεται νεκρὸς, καὶ χῶμα αὐτῷ ἐπιβάλλεται.

961. Οἱ πάλαι τοὺς νεκροὺς εἰς πυρὰν ἐντιθέμενοι [86]) ἐν καυστηρίῳ κατέπρησαν [87]), τὴν σποδὸν ἐν δροίτῃ τηροῦντες [88]) εὐόσμοις χυλοῖς κατέῤῥηναν [89]), ὅθεν νεκρῶν καῦστρα.

962. Αἱ τράπεζαι καὶ τὰ ἐπιτάφια ἐπιτίθενται [90]), τὰ ἐπικήδεια ᾄδονται, τὰ νομιζόμενα ἐναγίσματα τοῖς εὐεργέταις καὶ ἐγκωμίου ἀξίοις ἐκτελεῖται [91]).

963. Πάλαι ἐν ἐθνικισμῷ αἱ θρηνήτριαι μεμισθωμέναι [92]) ἐθρήνουν [93]), τὸ τρίχωμα ἐκπετασθὲν [94]) σπαράττουσαι, ὀλοφυρόμεναι, καὶ τὸ ἐπικήδειον ᾄδουσαι τὸν θανόντα [95]) ἐνεκωμίαζον [96]).

964. Ὅπως δὲ μὴ σκιαὶ πλανῶνται [97]), ἐναγισμοὺς τοῖς τεθνηκόσιν [98]) ἐτέλουν [99]).

XCVIII. Περὶ τῆς προνοίας.

965. Καὶ οὕτως ὁ θάνατος παρεισδὺς [100]) πάντα εἰς τέλος ἄγει.

966. Ἅπαντα χρόνια, κατάπτωτα, στιγμαῖα, ἀνατέλλει τε καὶ δύεται, φύεται καὶ θνήσκει, αὐξάνεται, ἐλαττοῦται [1]), καὶ φθειρόμενα οἴχεται.

967. Εἰ δέ τι βέβαιον δοκεῖ, τῇ παλαιότητι ἀποτριβόμενον ὄλλυται.

968. Ἅπαντα γὰρ εὐμετάβλητα αἰφνιδίως ἐστίν.

969. Ἄθεός ἐστιν ὁ τ' ἀνθρώπινα μάτην κυλινδεῖσθαι [2]) οἰόμενος, ἅπαντα γὰρ κατὰ τὴν εἱμαρμένην ἀκωλύτως χωρεῖ.

970. Ἡ τύχη οὐδὲν ἄλλο ἢ πεπλασμένον [3]) ῥημάτιον ὑπὸ τῶν ἐθνικῶν.

971. Τυχαῖα εἶναι ξύμφημι κατὰ τὴν γνῶσιν ἡμετέραν, ἀλλ' οὐ κατὰ τὴν πρόνοιαν μέγιστά [4]) τε καὶ τ' ἐλάχιστα κυβερνῶσαν [5]).

86) ἐντίθημι. 87) καταπρήθω. 88) τηρέω. 89) καταῤῥαίνω. 90) ἐπιτίθημι. 91) ἐκτελέω. 92) μισθόω. 93) θρηνέω. 94) ἐκπεταννύω. 95) ἐγκωμιάζω. 96) θνήσκω. 97) πλανῶμαι. 98) θνήσκω. 99) τελέω. 100) παρεισδύνω. 1) ἐλαττόω. 2) κυλινδέω. 3) πλάσσω. 4) μέγας. 5) κυβερνάω.

Digitized by Google

972. Καὶ γὰρ τὰς τρίχας 6) ἡμῶν ἀριθμηθῆναι 7) ὁ σωτὴρ μαρτυρεῖ, ὡς μηδεμίαν 8) ἄτευ βȣλῆς Θεȣ̃ δύνασθαι ἀπὸ τῆς κεφαλῆς πεσεῖν 9).

973. Διὰ τȣ̃το ταῖς ἀήθεσι καὶ ἀλλοκότοις μεταβολαῖς τὰ τέρατα προηγεῖται 10).

974. Οἰωνὸς ἅπασιν ἔνεςι.

975. Πάντοτε δὲ οἰωνίζεσθαι δεισιδαιμονία ἐςίν· εἰ ὁ Κύριός σοί τι φανερȣ̃ν 11) ἀξιώσει, τȣ̃τό σε ȣ̓ λήσεται 12).

976. Πρȣ̃ργον τι διαπραξόμενος 13) εὐσεβῶν ἀλήκτως Θεῷ προσεύχȣ 14), ὁ ȣ̓ μόνον τὰ παρεληλυθότα 15), ἀλλὰ καὶ τὰ μέλλοντα προορίσας 16), ȣ̓ σὲ ἀπολείψει 17).

977. Τὸ πεπρωμένον μὴ προλάμβανε, ἀλλὰ προσδέχȣ 18).

XCIX. Περὶ τῶν ἀγγέλων.

978. Ὁ δημιȣργὸς τῶν ὅλων ἀγγέλȣς ἀοράτȣς, πρὸς τὴν τῶν κάτω κυβέρνησιν ὑπȣργȣ̀ς ἐσομένȣς 19) ἔκτισεν 20).

979. Οὐκ ἐνδεὴς τȣ́των ὤν, ἀλλ' ὅτι αὐτῷ εὐάρεςον τȣ̃το γέγονεν 21).

980. Ἐν ȣ̓ρανȣ̃ καθυπερτάτῳ τȣ́τȣς κατέςησεν 22). ἔνιοι δὲ δι' ὑπερηφάνειαν αὐτȣ̃ ἀποςατήσαντες 23), εἰς ᾅδȣ κατεβλήθησαν 24), ὃν ἔρεβον παλαιωθεὶς ἐθνισμὸς ὠνόμασεν 25).

981. Οἱ εὐςαθεῖς δὲ ἐν ὑπακοῇ ȣ̈τως ἐπεῤῥώσθησαν 26), ὡς τȣ̃ καλȣ̃ ἀφίςασθαι 27) ȣ̓ δύνασθαι.

982. Ἀμφὶ τὸν θρόνον τȣ̃ κτιςȣ̃ πολλαὶ 28) μυριάδες σεβόμεναι, προσκυνȣ̃σαι καὶ ὑμνȣ̃σαι αὐτὸν, ἵςανται 29).

983. Πεμφθέντες 30) ἄγγελοι τὰ προςαχθέντα 31) πράττȣσι, πρεσβεύσαντες ὡς ὠκύτατα ἐπανέρχονται.

984. Τοῖς εὐσεβέσι, Θεȣ̃ κελεύοντος, ἀπὸ τῆς γενέσεως ὡς φύλακες, τȣ̃ τὰ κακὰ ἀποτρέπειν καὶ αὐτῶν ὑπερμαχεῖν, ἑαυτȣ̀ς συζευγνύȣσι.

985. Τὸ δὲ ὑπ' ἐνίων λεχθὲν 32) περὶ δυοῖν γενεθλίων δαιμόνων ἄδηλον.

6) θρίξ. 7) ἀριθμέω. 8) μηδείς. 9) πίπτω. 10) προηγȣ̃μαι. 11) φανερόω. 12) λανθάνω. 13) διαπράσσομαι. 14) προσεύχομαι. 15) παρέρχομαι. 16) προορίζω. 17) ἀπολείπω. 18) προσδέχομαι. 19) εἰμὶ. 20) κτίζω. 21) γίνομαι. 22) καθίςημι. 23) ἀποςατέω. 24) καταβάλλω. 25) ὀνομάζω. 26) ἐπιῤῥώννυμι. 27) πολὺς, 28) ἀφίςαμαι. 29) ἵςαμαι. 30) πέμπω. 31) προςάττω. 32) λέγω.

Digitized by Google

986. Φαίνονται μὲν ἐνίοτε, ἀλλ' ἀφανίζονται οὐ γοητείᾳ, ἀλλ' ἀληθῶς.

987. Οἱ κακοδαίμονες ἀμφιπολευόμενοι φάσματα λέγονται· μεσονυκτίου θορυβοῦντες [33]), φάσματα νυκτερινὰ, ἐφέσιοι δαίμονες ἀλάστορες καλοῦνται [34]).

978. Οἱ μάγοι, νεκρομαντικοὶ τοῖς κακοδαίμοσι συζυγέντες [35]), ταῖς ἐπῳδαῖς ἑαυτοὺς τε καὶ ἄλλους φρεναπατῶσι καὶ καταπαίζουσιν.

989. Οὐαὶ δὲ τῷ διαβόλῳ καὶ κοινωνοῖς αὐτοῦ, τῆς κοινωνίας ταύτης μὴ ἀποταξαμένοις [36])· εἰς γέενναν ἀποβληθήσονται [37]).

990. Ἐκδικητὴς γὰρ τῆς ἑαυτοῦ δόξης ὁ Κύριος ἔσται [38]).

C. Κολοφών. (κορωνίς.)

991. Ἄγε δὴ, ὦ ἑταῖρε, τί λοιπόν; ἐξέστω [39]) μοι τοῦτο ἀνεπιφθόνως εἰπεῖν [40]), ἃ προὐθέμην [41]) κατ' ἀρχὴν, ἅπαντα διεπέρηνα [42]).

992. Εἰ οὕτως ἔχει; καλῶς εὖγε τῆς ἀκριβείας καὶ φιλοπονίας. Διὰ ταύτης οὖν τῆς θύρας εἰσελθὼν [43]), τῶν ἐπιστημῶν καὶ τῆς γλώττης Ἑλληνικῆς τὸ παλάντιον (ἀνάκτορον) προσεχῶς (προσεκτικῶς) θεῶ [44])· προχείρως τε καὶ ἀμυχηδὸν ἐνθαδὶ τοῦτο θεωρήσας, περισσότερον ἐν λογογράφοις αὐθεντικοῖς τε καὶ δεδοκιμασμένοις [45]) ἐποφθάλμει; καὶ σκέψιν πᾶσαν ποίει.

993. Ἔχεις ἐνθάδε σύνοψίν τινα, συντόμως καὶ βραχέως ἐν περιόδοις τισὶ συλλαμβάνουσαν τὰ προπαιδεύματα τῆς θεολογίας τε καὶ φιλοσοφίας, ἃ ἐξηγηταὶ πλατέως καὶ διεξοδικῶς παραφράζοντες ἐν ἐξηγήσεσι διασαφηνίσουσιν· οὐδὲν σπουδῆς ἄξιον ὑπολελεῖφθαι [46]) ἡγοῦμαι.

994. Τέλος ἐπίδομα ἐπιμετρῶν, παρακαλῶ σε, πάντα πρὸς εὐσέβειαν τρέπειν, ὅπως χριστιανὸς ὀρθόδοξος πολὺ τῶν ψευδοχριστιανῶν (ψευδωνύμως οὕτω λεγομένων) διαφέρων, γένοιο [47]). Χριστὸς τῶν πράξεών σου καὶ ἐνθυμήσεων γνώμων ἔστω.

33) θορυβέω. 34) καλέω. 35) συζευγνύω. 36) ἀποτάσσω. 37) ἀποβάλλω. 38) εἰμί. 39) ἔξεστι. 40) ἔπω. 41) προτίθημι. 42) διαπεραίνω. 43) εἰσέρχομαι. 44) θεῶμαι. 45) δοκιμάζω. 46) ὑπολείπω. 47) γίνομαι.

Digitized by Google

831. Αἱμύλος ὢν οὐκ ἀδολεσχεῖ, καὶ γὰρ χαρίεις μᾶλλον, ἢ σιγαλέος, ἢ λάλος καὶ μωρολόγος ἐστίν.

832. Οὐκ ἔστιν ἀμείλιχος, ἀπηνὴς, αὐστηρὸς, ἀλλὰ σεμνός.

833. Οὐδένα πέρα τοῦ μέτρου ἐπαινεῖ ἢ ψέγει, οὐδένα λοιδορεῖ, ἀτιμάζει ἢ σκώπτει, λοιδορηθεὶς [5]) δὲ σιγᾷ.

834. Οὐδ᾽ ἐπιορκεῖ, οὐδ᾽ ὀμνύει εἰκῇ· ὀμωμοκὼς [6]) δὲ, εὔορκός ἐστι.

835. Μηδενὶ Φορτικῶς ἀντιλογῶν ἀντιστασιάζει, ἢ πράγματα παρέχει, οὐδένα ἑκὼν εἰδὼς [7]) τε λυπεῖ.

836. Φήμην οὐ κατασκεδάννυσι, μᾶλλον δὲ ἠκριβωμένως πυνθάνεται, ταύτῃ δὲ μὴ πάντως διαφοιτώσῃ [8]) ἀπιστεῖ.

837. Ὁ πολυπράγμων ἀλλοτριοπραγμονῶν, τὰ κρυπτὰ, ὧν αὐτῷ οὐδὲν μέτεστιν, (οὐδὲν εἰς αὐτὸν ἀνήκοντα) ἀναζητήσας ἀκριβοῖ [9]) τε καὶ ἐξετάζει.

838. Ἐγγλωττογάστωρ πολυλόγος· Φλύαρος, λογολέσχης τὸ ῥεχθέν [10]) τε καὶ ἄῤῥεκτον Φλυαρολογεῖ· ὁ σπερμολόγος (κρόταλος) ὕθλους γραΐκοὺς κωτίλλων ἀθυροστομεῖ· ὁ ἀθυρόγλωσσος λαθραῖα, εὐκρυφῆ, παράβυστα, ἀνέκφορα ἐξαγορεύει· (ἐκφερομυθεῖ·) ὁ σοφιστὴς ἀπατητικὸς, ὁ μῶμος πάντα μωμεῖται [11]).

839. Ὁ ἐσκεμμένος [12]) οὐκ ἄγλωσσος μὲν, ἀλλ᾽ οὐδὲ λαμυρὸς· (κωτύλος·) ἐν πολυλογίᾳ ματαιότης.

840. Ὁ ταπεινόφρων οὐχ ὑπέροφρυς τυφοῦται [13]) ἢ χαυνοῦται, οὐδ᾽ ἑαυτῷ ἀπονέμει ὃ οὐκ ἔχει, οὐκ ἀλλοτριοφθονεῖ, πορφύρας, διαδήματος, σπουδαρχῶν οὐκ ἀντιποιεῖται, οὐ μεγαλαυχεῖ, οὐ τὰ ἑαυτοῦ ἐπαιωρούμενος δεικνύει ἢ ἐπαινεῖ, οὐ καυχᾶται [14]), οὐκ ἐπαίρεται, οὐχ ἑαυτὸν τῶν ἄλλων προτιμᾷ, μᾶλλον δὲ ἑαυτὸν αὐτοῖς ὑφίησι καὶ ἐκταπεινοῖ [15]), διὰ ταῦτα εἰς ἀξίαν προαχθήσεται [16]).

841. Τὸν ἔπαινον δημοτικὸν Φαυλίζει, οὐ ζητεῖ ὡς ταπεινοί τινες τοῦ ὄχλου θεραπευταὶ, οὐδ᾽ ἄλλοις ἑαυτοῦ προκριθεῖσι [17]) δυσχεραίνει, ἄρχειν γὰρ οὐκ ἐπιβάλλεται.

5) λοιδορέω. 6) ὄμνυμι. 7) εἴδω. 8) διαφοιτάω. 9) ἀκριβόω. 10) ῥέζω. 11) μωμοῦμαι. 12) σκέπτομαι. 13) τυφοῦμαι. 14) καυχῶμαι. 15) ἐκταπεινόω. 16) προάγω. 17) προκρίνω.

842. Ἡ παιδιὰ, χαριεντότης, αἱμυλία, ἀστειολογία τοῖς εὐτραπέλοις πρέπει· ἡ ἀγροικία βαρβαρικόν.

843. Τὰ βωμολοχεύματα, (ἐπικερτομήματα,) οὐδ᾽ ἧττον τὴν κολακείαν παρασιτικὴν, μάλιστα φυλακτέον [18]) ἐστίν.

844. Οἱ σαρκασμοὶ, καταμωμήσεις τοῖς γελοιασταῖς πρέπουσιν.

845. Εὔτροπον καὶ κόσμιον τὸ μειδιᾶν: (ὑπογελᾶν·) καγχάζειν πλατὺ ἄγροικον.

LXXXVII. Περὶ τῆς αὐταρκείας.

846. Ὁ φιλάργυρος ἀδίκως καὶ ἀγνωμόνως φιλοπλουτεῖ, Θεὸς δὲ οὐρανόθεν τοὺς χρηστοὺς πλουτίζει.

847. Τί ὄφελος πλούτου ἀμέτρως συσσωρευθέντος [19]); οὐχὶ αὐτὸς κακῶν ἐρέθισμα καὶ ἐμπύρευμα; τὰ κακῶς συναθροισθέντα [20]) κακῶς διέῤῥευσεν [21]).

848. Οὕτω πλούσιοί τινες ἀφρονοῦσιν [22]), ὥστε ὑπερπλουτοῦντες [23]), (εὐποροῦντες ἁπάντων,) καὶ κιστὰς χρημάτων, φωριαμοὺς κειμηλίων, κιβωτοὺς καμάρας τε κατασκευῆς γεμούσας κτώμενοι, ὅμως ἀπορίαν φοβοῦνται [24]).

849. Πλούτων χρημάτων τοὺς πένητας ἀντευεργέτει· εἰ δὲ μὴ, ἀπ᾽ ὀλίγων ὀλίγα, εἰ οὐ δαψιλῶς, ἀλλ᾽ ἐλευθερίως.

850. Ἄμεινον ἐλευθέριον εἶναι, ἢ φειδωλὸν, τὸ δοῦναι [25]) γὰρ μακαριώτερον τοῦ λαβεῖν [26]).

851. Ὁ χρηστὸς ὀλίγοις ἀρκεῖται [27]), οὐ σμικρολόγος, ἀλλὰ φειδωλός ἐστιν.

852. Ἡ ὀλιγαρκία ὅσον τέλος ἐστὶν, εἰ ὁ ἄσωτος εἰδείη [28]), οὐκ ἂν τὴν πατρῴαν οὐσίαν ἡδυπαθείᾳ καὶ τύφῳ διασκορπίσειεν [29]).

853. Ἡ ζημία πτωχίζει, τὸ δὲ κέρδος πλουτίζει.

854. Ἅπαντα οὖν τὰ ἐκδοθέντα [30]) καὶ ληφθέντα [31]) ἐν ἀναγραφαῖς, βιβλίῳ λογιστικῷ σημείου [32]).

18) φυλάττομαι. 19) συσσωρεύω. 20) συναθροίζω. 21) διαῤῥέω. 22) ἀφρονέω. 23) ὑπερπλουτέω. 24) φοβοῦμαι. 25) δίδωμι. 26) λαμβάνω. 27) ἀρκέω. 28) εἴδω. 29) διασκορπίζω. 30) ἐκδίδωμι. 31) λαμβάνω. 32) σημειόω.

Digitized by Google

LXXXVIII. Περὶ τῆς δικαιοσύνης συναλλακτικῆς.

855. Ἡ δικαιοσύνη ἑκάςῳ τὸ ἴδιον ἀπονέμει.

856. Ὅςις οὖν ἄλλῳ τινὶ συναλλάξας [33]) ὑπέσχετο [34]) τι αὐθεκουσίως, ἢ ὑπ᾽ ἄλλου δεηθέντος [35]) ἐπαχθεὶς [36]), τοῦτο ἄνευ παραγραφῆς ἀκριβῶς τηρητέον [37]), καὶ τοῖς ἔργοις τὴν διὰ τῶν λόγων ἐπαγγελίαν κυρωτέον ἐςίν.

857. Εἰ ἐπερωτῶντί [38]) τι καθομολογούμενος [39]) ὑπέσχου [40]), κἂν σμικρὸν ᾖ [41]), αὐτῷ ὀφείλεται.

858. Τὴν παρακαταθήκην ἀποδοτέον [42]) ἐςὶν, οὐ δεῖ ἔξαρνον περὶ αὐτῆς ἀποκρυβείσης [43]) γενέσθαι [44]).

859. Οὐδὲν ἀλλότριον τῷ κτήτορι ἀσυνειδήτως ἐξιδιάζου [45]).

860. Ἀπόδος [46]) τὸ χρησθὲν [47]), ὅσον γε δυνατὸν ὁλόκληρον.

861. Οὕτω καὶ τὸ δανειζόμενον, ἄλλο μὲν, ἰσότιμον δὲ ἀπόδος.

862. Τῷ δεομένῳ δανείζων χειρόγραφον, ἀῤῥαβῶνα, ἐνέχυρον, ἐγγυητὴν ἢ δανειακὸν γραμμάτιον αἴτει.

863. Διὰ τὸ θνητὸν καὶ ἄπιςον φυλακῆς μεγίςη χρεία ἐςίν.

864. Οὐ χρήςης, ἀλλὰ τοκιςὴς παρὰ τὸ κεφάλαιον τόκον ἢ ἐγγιάριον ἢ ἡμιουγγιάριον λαμβάνει· πάντων κάκιςος [48]) δὲ ἀνατοκισμοῖς τὸν ὀφειλέτην κατεσθίει.

865. Ἑαυτὸν ἀδικεῖ ὁ ὑπέρχρεως, ἀναγκαζόμενος τὸ δάνειον μεταγράφειν, ἢ τὴν οὐσίαν ἀποπεφασμένως πωλεῖν ἢ χρεωκοπεῖν.

866. Τὸ χρέος οὖν ὡς τάχιςα διαλύων, ἀπόδειξιν τῶν χρεῶν, ἢ ἀποχὴν ἢ ἀθώωσιν αἴτει.

867. Ἡ κλοπὴ, ἁρπαγὴ, ἱεροσυλία, τὸ ἐκ κοινῶν κλέμμα, σωματεμπορία, ἀπελασία, ἐν τῇ ἐντολῇ, οὐ κλέψεις [49]), ἀπαγορεύονται.

868. Τῶν γὰρ ἰδίων οὐδένα δεῖ ςερεῖσθαι· ὁ δὲ τὰ δημόσια κλέπτων, εὐθύνας ὑπέχει.

33) συναλλάττω. 34) ὑπισχνοῦμαι. 35) δέομαι. 36) ἐπάγω. 37) τηρέω. 38) ἐπερωτάω. 39) καθομολογοῦμαι. 40) ὑπισχνοῦμαι. 41) εἰμὶ. 42) ἀποδίδωμι. 43) ἀποκρύπτω. 44) γίνομαι. 49) ἐξιδιάζομαι. 46) ἀποδίδωμι. 47) χράω. 48) κακὸς. 49) κλέπτω.

LXXXIX. Περὶ τῆς δικαιοσύνης διανεμητικῆς.

869. Ἐπὶ τοῖς δώροις καὶ κολάσει πάντες τὸ καθῆκον ἀποτελοῦσιν [50]).

870. Ὁ οὖν ἐπαινετὰ διαπραξάμενος, ἐπαίνου, συστάσεως, δωρεῶν ἀξιοῦται [51])· μισθὸς τοῦ πόνου αὐτῷ χρεωστεῖται· ὁ δὲ αἰσχρουργήσας [52]) ἐπίπληξιν, φαυλισμὸν, προπηλακισμὸν, κόλασιν προσάγεται.

871. Ὁ ἄκων καὶ ἀγνοῶν κακουργήσας [53]), ἄξιος ἐλεηθῆσαι [54]) ἐστι· τῇ εὐηθείᾳ τοῦτο προσλογίζου [55]), μηδαμῶς δὲ αὐτῷ τὸ πταῖσμα ὀνείδιζε· ὁ ἑκουσίως τε καὶ συμβουλευτικῶς ἁμαρτάνων, ἄξιος κολασθῆναί [56]) ἐστιν· ὁ δὲ ὑπ᾽ ἄλλων ἐποτρυνθεὶς [57]), συγγνωστὸς οὐκ ἐστι.

872. Μὴ θλίβε τὸν κακοπαθοῦντα [58]), (δύσθυμον,) μᾶλλον δὲ αὐτῷ δεηθέντι [59]) ἐπικούρει.

873. Ὁ ὑπουργίας δεόμενος ἱκετεύειν, ἀντιβολεῖν, λιπαρεῖν μὴ ὀκνῇ.

874. Ὁ μεγαλιζόμενος καὶ ὀφρυάζων πτωχὸς οὐδὲν τῷ πτωχεύειν λαμβάνει, ὁ ἀκαίρως ἄλλους ἐνοχλῶν μισούμενος [60]) ἁπάντων ἀπελαύνεται.

875. Εἰληφὼς [61]), ἃ ᾔτεις [62]), παντὶ τρόπῳ εὐχαρίστει, ἀποτυχὼν [63]) δὲ αὐτῶν δι᾽ ἱκανὰς αἰτίας, μὴ ἀπόκναιε, μὴ γόγγυζε.

876. Ὅ τι τίς σοι χαριζόμενος αὐτομάτως δίδωσι, μετρίως πρῶτον, ὡς μὴ ἀποδεξόμενος [64]), ἀνάνευε, αὐθαδῶς δὲ μὴ ἀπόπτυε, ὅπως μὴ ὑπεροπτικῶς ἔχειν δοκῇς [65]).

877. Τῆς εὐχαριστίας κλίμακες, μνήμη, ἔπαινος, ἀντίχαρις.

878. Τὸ ἀντιχαρίζεσθαι πρὸς πλουσίων ἐστί.

879. Τοῖς ξένοις ξένια, τοῖς δὲ ἐκ γένους προσήκουσιν ἐπινομίδες ἀποστέλλονται.

880. Τοὺς ἀξιώματι προὔχοντας τίμα [66]), αἰδοῦ [67]), ἀπόβλεπε, μηδενὸς ἀσθενεστέρου [68]) ὑπερόπτου [69]).

50) ἀποτελέω. 51) ἀξιόω. 52) αἰσχρουργέω. 53) κακουργέω. 54) ἐλεέω. 55) προσλογίζομαι. 56) κολάζω. 57) ἐποτρύνω. 58) κακοπαθέω. 59) δέομαι. 60) μισέω. 61) λαμβάνω. 62) αἰτέω. 63) ἀποτυγχάνω. 64) ἀποδέχομαι. 65) δοκέω. 66) τιμάω. 67) αἰδοῦμαι. 68) ἀσθενής. 69) ὑπερόπτομαι.

881. Ὠφέλει πάντας, ἐδένα βλάπτε, πᾶσιν εὐφήμει.

XC. Περὶ τῆς ἀνδρίεας.

882. Ὁ ἐν εὐτυχίαις τε καὶ ἀτυχίαις ἐναδιαφορῶν, μεγαλόφρων ἐςίν.

883. Οὐδὲν τῶν τυχόντων [70]) θαυμάζει, τὰ αἰφνίδια ἐκ ἐπτόηται [71]), πόνες αὐτῷ προσήκοντας ἀσμένως ἀποδέχεται, προθύμως ὑπομένει, ἀφειδὴς τῦ βίε, καὶ φιλοκίνδυνος ἀνάγκης ἀφύκτε ἐπειγέσης, ῥιψοκίνδυνος δὲ ἐκ ἔςιν.

884. Ὃ ἐπεχείρησεν [72]), ἐκτελεῖ, κεκμηκὼς [73]) καὶ καταπονηθεὶς [74]) μικρὸν ἀναπαύεται, ἵνα μὴ καμαςηρῶς τε καὶ περισσῶς ἀσχολέμενος ἀποκάμη [75]).

885. Ὁ μικρόψυχος δὲ τῇ εὐπραξίᾳ ἐπαίρεται, τῇ δυσπραξίᾳ ἀθυμεῖ, τὰ ἀπροσδόκητα πτοεῖται [76]), πρὸς ἅπαντα ψοφοδεὴς καὶ μεμψίμοιρος μύζειν (χρύζειν) ἐ τολμᾷ.

886. Ὅσον ἀνδρεῖος τῦ ἀποδειλιῶντος [77]) διαφέρει; ὁ μὲν τὸ καθῆκον ἐπιμελῶς καὶ ἐσπεδασμένως πράττει, ὁ δὲ ἁπάντων ἀποσπεδάζει· ὁ μὲν μηδὲν ἀναβαλλόμενος τὸ δέον πράττει, ὁ δὲ ἀμβολιεργὸς εἰς τὴν ὑςεραίαν πάντα ἐκκρέει· ὁ μὲν τῇ καλῇ προαιρέσει βεβαίως ἐμμένει, ὁ δὲ ἀβέβαιος καὶ ταχύβελος αὐτῆς ἐξίςαται [78])· καὶ συνελόντι [79]) γ' εἰπεῖν [80]), ὁ μὲν πανταχῦ ἀκμάζει, ὁ δὲ ναρκᾷ καὶ ἀναισθήτως ἔχει.

887. Τοῖς ὀκνηροῖς, καὶ σχολὴν ἄγεσιν ἀεὶ ἑορταί εἰσι, οἵ γε ἡμερῶν ἀνεόρτων τε καὶ ἑορτασίμων περιπλανῶνται.

888. Ὁ δραςήριος καὶ φίλεργος ἐν αὐτῇ τῇ σχολῇ ἄσχολος, τὴν ἀκηδίαν καὶ ἀργίαν φεύγει.

XCI. Περὶ τῆς ὑπομονῆς.

889. Τί συμφέρει τληπάθειαν καὶ ἀθλιότητα ἀποδύρεσθαι, ἀπαλλαγῆς μὴ παρέσης [81]);

70) τυγχάνω. 71) πτοῦμαι. 72) ἐπιχειρέω. 73) κάμνω. 74) καταπονέω. 75) ἀποκάμνω. 76) πτοῦμαι. 77) ἀποδειλιάω. 78) ἐξίςημι. 79) συναιρέω. 80) ἔπω. 81) πάρειμι.

890. Ὁ ὑπομονητικὸς ςενάζει, δακρύει μὲν, ἀλλ᾽ ἐκ ὀλοφύρεται (ὀλολύζει,) ἐ κλαυθμυρίζει, ἐ σχετλιάζει, ἐ τὸ σῶμα ἀπεσκληκὼς [82]) ἀτροφεῖ, (καχεκτεῖ,) ἐχ ἑαυτὸν κατασκελετεύει.

891. Ἀδικέμενος [83]) ἐκ ἀνταδικεῖ, ἐκ ἐκδικεῖ ἑαυτὸν, ἀλλ᾽ ἀνατλᾷ, μειώσας μᾶλλον, ἢ ἐπὶ τὸ μεῖζον τὰ ἀδικήματα δεινώσας, τοῖς ἐναντίοις, καί περ πάνδεινα πεπονθὼς [84]), ἐκ ἀμείβεται [85]).

892. Περὶ μὲν τῶν ἀδικημάτων ἀγανακτεῖ, καὶ τοῖς κακόνοις [86]) ἀντιλέγει, ἀλλ᾽ ἐκ εἰς ἐκδίκησιν καὶ ὀργὴν ἀναῤῥήγνυται, ἐκ ὀργισθεὶς [87]) καὶ πιμπράμενος πικρῶς ἄλλων κατατρέχει, (ἐπιλαμβάνεται,) εὔοργος μὲν, ἀλλ᾽ ἐκ ἐπιθετικός ἐςι.

893. Τὴν ὀργὴν κατέχειν, συγγινώσκειν, τῶν ἐχθρῶν φείδεσθαι, ἀοργησίας ἐςί· Φλεγμαίνεσθαι, φρυάττεσθαι, μαίνεσθαι, ἀπειλεῖν κακὰ ἄλλοις, καταρᾶσθαι [88]) ὁ τῦ θυμῦ ἀκρατὴς εἴωθεν [89]).

894. Ὁ τῦ θυμῦ κρατεῖν ἀδυνατῶν τῦ φρονεῖν ἐξέςηκεν [90]).

895. Ὁ δὲ γενναῖος τὴν πραότητα τῆς ὠμότητος, τὴν ἠπιότητα τῆς ἀγριότητος, τὴν χρηςότητα τῆς ἀπηνείας, τὴν εὐαρέςησιν τῆς ὀργιλότητος προαιρεῖται [91]).

896. Ὠμότης, ἀπανθρωπία δυσχείρωτος καὶ δυσμείλικτος θηριῶδες· ἡ δὲ ἀνάγκη βιαιότατον.

XCII. Περὶ τῆς εὐςαθείας.

897. Ἡ ςαθηρότης ἰσχυρῶς τῇ καλοκἀγαθίᾳ ἐμμένει, ἡ δὲ κεφότης ἀεὶ ἀςατεῖ.

898. Πολὺ τὸ εὐςαθεῖν τῦ φιλονεικεῖν διαφέρει.

899. Ἐπιχειρῦντός [92]) σέ τινος καλῆς προαιρέσεως ἐγκρατεῖν, τῆς γνώμης ἀμεταβλήτως καὶ ἀμεταπείςως ἔχε, ἕως ἂν ἅπαντα ἐμποδίσματα ἐκκόψῃς [93]) καὶ ἀπωσθῇ [94]).

900. Ἀπρεπὲς τὸ κυρωθὲν ἀποκυρῦν [95]).

82) ἀποσκλημι. 83) ἀδικέω. 84) πάσχω. 85) ἀμείβω. 86) κακόνοος. 87) ὀργίζω. 88) καταρᾶομαι. 89) ἔθω. 90) ἐξίςημι. 91) προαιρέω. 92) ἐπιχειρέω. 93) ἐκκόπτω. 94) ἀπωθέομαι. 95) ἀποκυρόω.

Digitized by Google

XCIII. Περὶ τῆς Φιλίας τε καὶ Φιλανθρωπίας.

901. Εἰ τὴν συμβίωσιν τῷ συμβιωτῇ ἐπιτερπῆ θέλεις εἶναι, εὐπροσήγορον καὶ Φιλάνθρωπόν σε τοῖς ἥττοσι, θεραπευτικὸν τοῖς ὁμοτίμοις, ὑπήκοον σὺν αἰδοῖ [96]) τοῖς κρείττοσι πάρεχε, καὶ πάντων οὕτως εὔνοιαν κτήσῃ [97]).

902. Ἐπισκεπτόμενος ἢ παρελθὼν [98]) τινα, Φιλοφρόνως ἀσπάζου [99]) τὸν ἀσπαζόμενον ἀντασπάζεσθαι, ἢ τὸν ἀποχωροῦντα [100]) (ἀπιόντα [1]) προπέμπειν μὴ ἀπαξίου [2]).

903. Τῷ ἐρωτῶντι [3]) χρηστῶς, ἡδέως, μειλιχίως, ἐπιεικῶς, τοὐλάχιστον κατανεύων ἢ ἀπονεύων, ἀποκρίνου [4]).

904. Τὸν λαλοῦντα [5]) μὴ διάκοπτε· ἐπιλαθομένῳ [6]) τινὸς, ἂν εἰς νοῦν ἔλθῃ [7]), ὑπόβαλλε· τόν σε προσδοκῶντα [8]) μὴ κάτεχε.

905. Καθδύναμιν χαρίζεσθαι καὶ βοηθεῖν τοῖς δεομένοις ἀμισθὶ μὴ κατόκνει.

906. Τῷ ἐνδεεῖ βουλῆς συμβούλευε, παραμυθίας, παραμύθου [9]), βοηθείας, βοήθει [10]), μηδεμίαν διατριβὴν ποιούμενος [11]), χειροτονίας, χειροτόνει, καὶ ἅπασι Φιλιάσεις [12])· τοὺς ἀσθενοῦντας [13]) ἐπισκέπτεσθαι καὶ παραμυθεῖσθαι πρὸς θεολόγων ἐστίν.

907. Ἔβλαψέ [14]) σέ τις, μὴ προσποιοῦ [15]), καὶ ἐρυθριάσει [16])· εἰ αὐτῷ ὧν ἥμαρτεν [17]) μεταμέλει, σύγγνωθι [18]), τότε βεβαιότερον Φίλον ἕξεις [19]).

908. Προσκρούσας τινὶ μὴ αἰσχύνου [20]) δεξιοῦσθαι [21]), προσαγορεύειν, εἰς διαλλαγὰς χωρῆσαι [22]), ἀπεύχεσθαι, οὐκ ἀφοσιώσεως ἕνεκα, ἢ κατ' ἐπιπολῆς, ἀλλὰ σπουδῇ.

909. Τὴν ἔχθραν οὐκ ἔα παλαιοῦσθαι [23]), ἵνα μὴ μῖσος ἀποβῇ [24]).

96) αἰδοῦς. 97) κτάομαι. 98) παρέρχομαι. 99) ἀσπάζομαι. 100) ἀποχωρέω. 1) ἄπειμι. 2) ἀπαξιόω. 3) ἐρωτάω. 4) ἀποκρίνομαι. 5) λαλέω. 6) ἐπιλανθάνομαι. 7) ἔρχομαι. 8) προσδοκέω. 9) παραμυθοῦμαι. 10) βοηθέω. 11) ποιέω. 12) φιλιάω. 13) ἀσθενέω. 14) βλάπτω. 15) προσποιοῦμαι. 16) ἐρυθριάω. 17) ἁμαρτάνω. 18) συγγινώσκω. 19) ἔχω. 20) αἰσχύνομαι. 21) δεξιοῦμαι. 22) χωρέω. 23) παλαιόω. 24) ἀποβαίνω.

Digitized by Google

910. Τοῖς συμβιωταῖς ὁμόνοια πρέπει, πῶς ἂν ἄλλως συμβιοῦν [25]) δύναιντο [26]).

911. Οὐκ ἐνδέχεται τοὺς ὁμοτραπέζους ὅλως μὴ στασιάζειν, διαφέρεσθαι, ἑτεροδοξεῖν· δεῖ οὖν ὡς τάχιστα [27]) τὴν χάριν καὶ ὁμόνοιαν ἀνανεοῦν [28]).

912. Εὐτυχεῖ τις; μὴ φθόνει, μᾶλλον δὲ εὐφήμει· ἀτυχεῖ; ἐλέει· πρὸς ἐλεήμονος τοὺς ἀθλίους ἐλεεῖν.

913. Τὴν ἀλήθειαν ἀγάπα, (περὶ αὐτὴν σπούδαζε,) ψεύδους γὰρ οὐδὲν σχετλιώτερον καὶ βδελυρότερον· ὁ τὰ ψευδῆ ἐπινοῶν [29]) μιαρός ἐστιν.

914. Εἰδὼς [30]) τί τῶν κρυφίων, μὴ μήνυε, πρὶν ὑφ' ἁπάντων θρυλλεῖσθαι, πολὺ δὲ ἧττον τὰ παρακεκαλυμμένα [31]) τῷ λόγῳ διαδίδοθι [32]) ἢ στηλίτευε, καὶ περὶ ἄλλων περὶ τούτων πολυπραγμονούντων [33]) σίγα [34]), φημὶ, σιγὴ ἀβλαβής σε ὠφελήσει.

915. Ἐν ἱλαροῖς μὴ σκύθραζε, οὐδ' ὑπερχάρηθι [35]).

916. Μὴ γίνου [36]) φιλοσκώμμων· χαριεντίζεσθαι χρὴ, οὐ σκώπτειν· μὴ παρόντα [37]) τινὰ ἐρέθιζε, μηδ' ἀπόντα λοιδόρει.

917. Τὸ ἐρίζειν περὶ τῶν τυχόντων [38]), καὶ περὶ καπνοῦ στενολεσχεῖν οἱ ἄγροικοι καὶ δικοῤῥάφοι, διαβάλλειν οἱ προδόται, μυθηταὶ, στασιασταὶ, περισύρειν, ἀποκναίειν, ὠθίζειν κοπρολόγοι καὶ χλευασταὶ, λοιδορεῖν, λωβεύειν οἱ τριξῶλαι καὶ τριοβολιμαῖοι ἀλάστορες εἰώθασι [39]).

XCIV. Περὶ τῆς ἀκεραιότητος.

918. Φιλιωθείς τινι, ἀκάκως, ἁπλάστως, ἀδόλως αὐτῷ συμβίου· τίς γὰρ δόξα φίλον καὶ εὔνουν ἄνδρα [40]) κατασοφιστεῖν;

919. Πιστῷ ἑταίρῳ ἀκίβδηλος καὶ ἀνύπουλος γίνου [41])· ὁ ἀνδρακόβαλος γὰρ καὶ πανοῦργος ἑαυτῷ κακὸν μηχανᾶται [42]).

920. Οὐκ ἀπόντος ἀλλὰ παρόντος εὐκαίρως ἄνευ πικρότητος ἐπιλαμβάνου [43]).

921. Οὐδὲν τῆς κολακείας τῇ φιλίᾳ ἐναντιώτερον.

25) συμβιόω. 26) δύναμαι. 27) ταχέως. 28) ἀνανεόω. 29) ἐπινοέω. 30) εἴδω. 31) περικαλύπτω. 32) διαδίδωμι. 33) πολυπραγμονέω. 34) σιγάω. 35) ὑπερχαίρω. 36) γίνομαι. 37) πάρειμι. 38) τυγχάνω. 39) ἔθω. 40) ἀνήρ. 41) γίνομαι. 42) μηχανῶμαι. 42) ἐπιλαμβάνομαι.

Digitized by Google

922. Ὁρᾷς τι ἔγκλημα; μὴ πρόσχημα ποίει, μᾶλλον δὲ νουθέτει, ἐπιτίμα· διὰ τί μὴ ὁρᾷν προσποιήσαιο [43]);

923. Τὸν πέλας ἁμαρτόντα [44]) φανερῶς ἐπίπλησσε καὶ ἐπανόρθου [45])· τὸ κολακεύειν κερκώπειον.

924. Τῷ χρήσιμα λαλοῦντι [46]) συντίθεσο [47]), τῷ δ' ἄχρηστα φλυαροῦντι νοῦν οὐ πρόσεχε.

925. Θωπείαν, παρευρέσεις τοῖς ἐπιβουλευταῖς καὶ ἐπιόρκοις, λήρους, σωμύλματα τοῖς φλυάροις καὶ δημοκόποις λεῖπε· σὺ ἁπλῶς, ἀκιβδήλως, φρονίμως πάντα πράττε.

926. Τὴν ἀλήθειαν μὴ αἰσχύνου [48]) κατὰ τὸ συνειδὸς ἐλευθέρως ὁμολογεῖν· διὰ τί ὀργίζεσθαι θέλοις;

927. Πρὸς ἐκείνους, ὧν ἁπλότητα οὐκ ἀκριβῶς κατέμαθες [49]), φιλίαν οὐ σύνθες [50]), ἄλλως γε εὐτελὴς καὶ ἀπόβλητος ἔσῃ.

928. Τοὺς ἀγνώστους μὴ θώπευε, ἵνα μή σε ἀρεσκευόμενον ἐπιβουλεύειν αὐτοῖς ἡγούμενοι παραγωγὴν φοβοῖντο [51]).

XCV. Περὶ τῆς πεπαιδευμένης ὁμιλίας.

929. Σχολάζων συνομίλῳ τινὶ πρόσιθι [52]), τὸν δὲ μισοῦντά [53]) σε μὴ ἐπισκέπτου [54]), μακρὰ χαίρειν αὐτῷ μᾶλλον φράζε.

930. Οὐκ ἐπονείδιστον ἡγοῦ [55]) τὴν τοῦ ἀλλογενοῦς καὶ δημοτικοῦ ἀνδρὸς ἑταιρίαν, εἰ χρηστὸς καὶ ἁρμοστὸς σοί ἐστι· τοῖς δ' ἀτίμοις μὴ προσομίλει.

931. Τὰς ἑταιρίας ἀνειμένας παραιτοῦ [56]), τὰ γὰρ ἤθη χρηστὰ φθείρουσιν.

932. Οἱ λόγιοι μελετῶντες [57]) ἢ διαλεγόμενοι περιπάτοις χαίρουσιν.

933. Ἀχθόμενος τῷ ἐν ἐφήλῳ περιπατεῖν, ἢ ἡλιάζεσθαι, ἐν εὐσκίῳ κάθησο [58]).

934. Κάλλιστον τοῖς ἀποῦσι [59]) συνδιαλέγεσθαι, οὐδ' αὐτοῖς διὰ γραμματοφόρων, ἀλλὰ γραμμάτων ἅπαντα μηνύειν.

43) προσποιοῦμαι. 44) ἁμαρτάνω. 45) ἐπανορθόω. 46) λαλέω. 47) συντίθημι. 48) αἰσχύνομαι. 49) καταμανθάνω. 50) συντίθημι. 51) φοβοῦμαι. 52) πρόσειμι. 53) μισέω. 54) ἐπισκέπτομαι. 55) ἡγοῦμαι. 56) παραιτοῦμαι. 57) μελετάω. 58) κάθημαι. 59) ἄπειμι.

935. Οἱ παλαιοὶ ἐν κηρώμασι τὰ γράμματα διατυπῶντες [60]) τοῦ ἐξαφανίζειν, σὺν αὐτοῖς τοὺς γραμματοφόρους ἀπέστειλαν [61]) · ἡμεῖς δὲ τοῦ χάρτου καὶ μέλανος [62]) πλεῖον ὀνάμεθα.

936. Ἡ ἐπιστολὴ μακρὰ ἐπτυγμένη [63]), ἵνα μὴ ἀναγνωσθῇ [64]) πλὴν ὑπ' ἐκείνου, οὗ ὄνομα ἐπιγραφθὲν [65]) ἔχει, τῇ σφραγῖδι σφραγίζεται· ταύτην ἐκεῖνον δεῖ ἀποσφραγίζειν, ὃν ἐπιγραφὴ δείκνυσι.

937. Τὸ ὄνομα, ἐπώνυμον, πατρωνυμικὸν προςίθεται [66]), εἰ δοκεῖ.

938. Ἡ σχέδη ἀσφράγιστός ἐστι.

XCVI. Περὶ τῶν παιγνίων.

939. Ὅπως μὴ ὀλιγοδρανίᾳ καὶ παρακμῇ παρανευρισθεὶς [67]) ἀποκάμνῃς, (ἐξαδυνατῇς, ἐξασθενίσῃ, [68]) τῶν σπουδαίων ἐνίοτε ἀπεχόμενος τοῖς ὁμήλιξιν (οἱ μὴ ἥλικες σπανίως ἀλλήλοις σύνεισι) σύμπαιζε, καὶ σεαυτὸν ἐξασθενιζόμενον (ἀσθενοῦμενον) [69]), συλλέγου [70]) καὶ ἀνακομίζου [71]).

940. Τὰ θεάματα τέρπει, ἡ κίνησις ζωγρεῖ.

941. Εὐτραπελίαις, ἀποφθέγμασιν, αἰνίγμασιν ἐπιστρεφῶς ἁμιλλᾶσθαι [72]) διορατικὸν καὶ ἀγχίνουν· σφαίρᾳ, ἁρπαστῷ, κωρύκῳ, φαινίνδᾳ ἐν σφαιριστηρίῳ, κώνῳ, τροχῷ, στρόμβῳ, φυσητῆρι ἀκτίνῳ καὶ τηλεβόλῳ σφαιριδίων στυπίνων, σφαιριδίοις, μυΐνδᾳ, αἰωρήσει, βασιλίνδᾳ, ἀποδιδρασκίνδᾳ, κινδαλισμῷ παίζειν, παίδειον· χάρταις παιγνικοῖς, ἀστραγάλοις, (κύβοις, πεσσοῖς,) κυβευτικόν· τοὺς δακτύλους ἐπαλλάττειν Ἰταλιωτῶν ἔθος· ἀσκωλιασμὸς παίγνιον Ἐμπούσης· πεσσονομεῖν ἐργῶδες.

942. Πεσσῶν ἀκινήτων ὄντων, φροῦδα πάντα.

943. Τὸ χορεύειν ἀκόλαστον καὶ μισητόν.

944. Ὁ καλοβάτης τὰ βήματα ἐπιμήκη ἐπὶ καλοβάθρων βάλλει.

945. Οἱ παλαισταὶ, ἀθληταὶ, πεταυρισταὶ πάνυ τολμηροί· τολμηρότεροι ἔτι σχοινοβάται.

946. Οἱ δρομεῖς ἀπὸ τῆς γραμμῆς (ἀφετηρίας) πρὸς τὸ τέρμα σπεύδουσιν· ὁ πρῶτος τὸ βραβεῖον λαμβάνει.

60) διατυπόω. 61) ἀποστέλλω. 62) μέλαν. 63) πτύσσω. 64) ἀναγινώσκω. 65) ἐπιγράφω. 66) προςτίθημι. 67) παρανευρίζω. 68) ἐξασθενίζω. 69) ἀσθενέω. 70) συλλέγω. 71) ἀνακομίζομαι. 72) ἁμιλλῶμαι.

947. Ἄλλοι γραμμήν τινα διαγράφουσιν, ἧς ἁπτόμενοι ὑφίσανται [73]), ὁ δὲ παρατρέχων, ἢ ταύτης ὑφιστάμενος, νικᾶται.

948. Ἐν ἱπποδρόμῳ ἱπποδρομίᾳ, ἐν ἀγωνιστηρίῳ παλαίσματι ἀγκυρίζοντές τε καὶ ὑποσκελίζοντες ἀλλήλους ἠγωνίζοντο [74]).

949. Οἱ μονομάχοι καὶ πύκται ἐν παλαίστρᾳ ὑπ' ἀθλοθέτη μάχονται.

950. Δυοῖν εἰς τὰς χεῖρας συναπτόντοιν, μονομαχία ἐστὶ, πανολέθριος ἑτέρου θανόντος [75]).

951. Γόης, (θαυματοποιὸς) ταχύτητι τῆς χειρονομίας καὶ σχηματοποιήσεως τοὺς ὀφθαλμοὺς ἀπατᾷ καὶ θεωμένους [76]) φενακίζει· φενακισμὸς πάντα, οὐ θαύματα.

952. Ὁ μῖμος γελοίων προσωπεῖον ἐνδὺς [77]) ἄλλους μιμεῖται [78]).

953. Ἡ κωμῳδία δυσχερῆ πράγματα σὺν τερπνῇ καταστροφῇ, ἡ τραγῳδία σὺν στερρᾷ προτίθησι.

954. Τὰ θέατρα, ἀμφιθέατρα πρόσκαιρα καὶ μόνιμα ἐν ἐμφανείᾳ ἐστίν· ἡ σκηνὴ χορηγίοις καλύπτεται· ἡ ὀρχήστρα τοῖς ἐν ἀξιώματι, τὸ δὲ θεωρητήριον τῷ ὄχλῳ συμμίκτῳ ἀνοίγεται· ἡ θυμέλη ἐν προσκηνίῳ, τὸ ἔδαφος ἐν ᾧ οἱ μῖμοι θεατρίζουσι· τὸ θεωρικὸν ὑπὸ τῶν θεωμένων δίδοται [79]).

XCVII. Περὶ τοῦ θανάτου τε καὶ ταφῆς.

956. Τῶν ἐπιθανάτως ἐχόντων σημεῖον ὁ λήθαργος καὶ τῶν ὀφθαλμῶν ἔμπτωσις.

957. Ὦ θνητοὶ, πόσος τίς ὑμῶν ἐνθυμεῖται [80]), ἐκ στιγμῆς τὴν ἀϊδιότητα κρέμασθαι;

958. Ὡς τάχιστα [81]) γὰρ τοῦ τῆδε βίου μετέστης [82]), καὶ ἀπεπαύου [83]), ἡ ψυχή σου εἰς οὐρανὸν ἢ εἰς τάρταρον ἀπελεύσεται [84]).

959. Ὁ νεκρὸς κατὰ τὰ νεκύσια ὑπὸ τῶν νεκραλειπτῶν ἀλειφόμενος, πενθικῶς ἐνδυόμενος, καὶ εἰς φέρετρον τεθεὶς [85]) ὑπὸ τῶν νεκροφόρων ἐκφέρεται.

73) ὑφίσαμαι. 74) ἀγωνίζομαι. 75) θνήσκω. 76) θεῶμαι. 77) μιμοῦμαι. 78) ἐνδύνω. 79) δίδωμι. 80) ἐνθυμοῦμαι. 81) ταχέως. 82) μεθίσαμαι. 83) ἀποπαύομαι. 84) ἀπέρχομαι. 85) τίθημι.

Digitized by Google

960. Ἡ ἐκφορὰ πρὸς τὸ κοιμητήριον σὺν πομπῇ νομιζομένη γίνεται, θάπτεται νεκρὸς, καὶ χῶμα αὐτῷ ἐπιβάλλεται.

961. Οἱ πάλαι τȣ̀ς νεκρȣ̀ς εἰς πυρὰν ἐντιθέμενοι [86]) ἐν καυϛηρίῳ κατέπρησαν [87]), τὴν σποδὸν ἐν δροίτῃ τηρȣ̃ντες [88]) εὐόσμοις χυλοῖς κατέῤῥηναν [89]), ὅθεν νεκρῶν καῦϛρα.

962. Αἱ τράπεζαι καὶ τὰ ἐπιτάφια ἐπιτίθενται [90]), τὰ ἐπικήδεια ᾄδονται, τὰ νομιζόμενα ἐναγίσματα τοῖς εὐεργέταις καὶ ἐγκωμία ἀξίοις ἐκτελεῖται [91]).

963. Πάλαι ἐν ἐθνικισμῷ αἱ θρηνήτριαι μεμισθωμέναι [92]) ἐθρήνȣν [93]), τὸ τρίχωμα ἐκπετασθὲν [94]) σπαράττȣσαι, ὀλοφυρόμεναι, καὶ τὸ ἐπικήδειον ᾄδȣσαι τὸν θανόντα [95]) ἐνεκωμίαζον [96]).

964. Ὅπως δὲ μὴ σκιαὶ πλανῶνται [97]), ἐναγισμȣ̀ς τοῖς τεθνηκόσιν [98]) ἐτέλȣν [99]).

XCVIII. Περὶ τῆς προνοίας.

965. Καὶ ȣ̓́τως ὁ θάνατος παρεισδὺς [100]) πάντα εἰς τέλος ἄγει.

966. Ἅπαντα χρόνια, κατάπτωτα, ϛιγμαῖα, ἀνατέλλει τε καὶ δύεται, φύεται καὶ θνήσκει, αὐξάνεται, ἐλαττȣ̃ται [1]), καὶ φθειρόμενα οἴχεται.

967. Εἰ δέ τι βέβαιον δοκεῖ, τῇ παλαιότητι ἀποτριβόμενον ὄλλυται.

968. Ἅπαντα γὰρ εὐμετάβλητα αἰφνιδίως ἐϛίν.

969. Ἄθεός ἐϛιν ὁ τ' ἀνθρώπινα μάτην κυλινδεῖσθαι [2]) οἰόμενος, ἅπαντα γὰρ κατὰ τὴν εἱμαρμένην ἀκωλύτως χωρεῖ.

970. Ἡ τύχη ȣ̓δὲν ἄλλο ἢ πεπλασμένον [3]) ῥημάτιον ὑπὸ τῶν ἐθνικῶν.

971. Τυχαῖα εἶναι ξύμφημι κατὰ τὴν γνῶσιν ἡμετέραν, ἀλλ' ȣ̓ κατὰ τὴν πρόνοιαν μέγιϛα [4]) τε καὶ τ' ἐλάχιϛα κυβερνῶσαν [5]).

86) ἐντίθημι. 87) καταπρήθω. 88) τηρέω. 89) καταῤῥαίνω. 90) ἐπιτίθημι. 91) ἐκτελέω. 92) μισθόω. 93) θρηνέω. 94) ἐκπεταννύω. 95) ἐγκωμιάζω. 96) θνήσκω. 97) πλανῶμαι. 98) θνήσκω. 99) τελέω. 100) παρεισδύνω. 1) ἐλαττέω. 2) κυλινδέω. 3) πλάσσω. 4) μέγας. 5) κυβερνάω.

972. Καὶ γὰρ τὰς τρίχας [6]) ἡμῶν ἀριθμηθῆναι [7]) ὁ σωτὴρ μαρτυρεῖ, ὡς μηδεμίαν [8]) ἄνευ βȣλῆς Θεȣ͂ δύνασθαι ἀπὸ τῆς κεφαλῆς πεσεῖν [9]).

973. Διὰ τȣ͂το ταῖς ἀήθεσι καὶ ἀλλοκότοις μεταβολαῖς τὰ τέρατα πρoηγεῖται [10]).

974. Οἰωνὸς ἅπασιν ἔνεςι.

975. Πάντοτε δὲ οἰωνίζεσθαι δεισιδαιμονία ἐςίν· εἰ ὁ Κύριός σοί τι Φανερȣ͂ν [11]) ἀξιώσει, τȣ͂τό σε ȣ̓ λήσεται [12]).

976. Πρȣ͂ργον τι διαπραξόμενος [13]) εὐσεβῶν ἀλήκτως Θεῷ προσεύχȣ [14]), ὁ ȣ̓ μόνον τὰ παρεληλυθότα [15]), ἀλλὰ καὶ τὰ μέλλοντα προορίσας [16]), ȣ̓ σὲ ἀπολείψει [17]).

977. Τὸ πεπρωμένον μὴ προλάμβανε, ἀλλὰ προσδέχȣ [18]).

XCIX. Περὶ τῶν ἀγγέλων.

978. Ὁ δημιȣργὸς τῶν ὅλων ἀγγέλȣς ἀοράτȣς, πρὸς τὴν τῶν κάτω κυβέρνησιν ὑπȣργȣ̀ς ἐσομένȣς [19]) ἔκτισεν [20]).

979. Οὐκ ἐνδεὴς τȣ́των ὤν, ἀλλ' ὅτι αὐτῷ εὐάρεσον τȣ͂το γέγονεν [21]).

980. Ἐν ȣ̓ρανȣ͂ καθυπερτάτῳ τȣ́τȣς κατέςησεν [22])· ἔνιοι δὲ δι' ὑπερηΦάνειαν αὐτȣ͂ ἀποςατήσαντες [23]), εἰς ᾅδȣ κατεβλήθησαν [24]), ὃν ἔρεβον παλαιωθεὶς ἐθνικισμὸς ὠνόμασεν [25]).

981. Οἱ εὐςαθεῖς δὲ ἐν ὑπακοῇ ȣ̔́τως ἐπεῤῥώσθησαν [26]), ὡς τȣ͂ καλȣ͂ ἀΦίςασθαι [27]) ȣ̓ δύνασθαι.

982. Ἀμφὶ τὸν θρόνον τȣ͂ κτιςȣ͂ πολλαὶ [28]) μυριάδες σεβόμεναι, προσκυνȣ͂σαι καὶ ὑμνȣ͂σαι αὐτὸν, ἵςανται [29]).

983. ΠεμΦθέντες [30]) ἄγγελοι τὰ προςαχθέντα [31]) πράττȣσι, πρεσβεύσαντες ὡς ὠκύτατα ἐπανέρχονται.

984. Τοῖς εὐσεβȣ͂σι, Θεȣ͂ κελεύοντος, ἀπὸ τῆς γενέσεως ὡς Φύλακες, τȣ͂ τὰ κακὰ ἀποτρέπειν καὶ αὐτῶν ὑπερμαχεῖν, ἑαυτȣ̀ς συζευγνύȣσι.

985. Τὸ δὲ ὑπ' ἐνίων λεχθὲν [32]) περὶ δυοῖν γενεθλίων δαιμόνων ἄδηλον.

6) θρὶξ. 7) ἀριθμέω. 8) μηδεὶς. 9) πίπτω. 10) προηγȣ͂μαι. 11) Φανερόω. 12) λανθάνω. 13) διαπράσσομαι. 14) προσεύχομαι. 15) παρέρχομαι. 16) προορίζω. 17) ἀπολείπω. 18) προσδέχομαι. 19) εἰμὶ. 20) κτίζω. 21) γίνομαι. 22) [illegible] καθίςημι. 23) ἀποςατέω. 24) καταβάλλω. 25) ὀνομάζω. 26) ἐπιῤῥώννυμι. 27) πολὺς. 28) ἀφίςαμαι. 29) ἵςαμαι. 30) πέμπω. 31) προςάττω. 32) λέγω.

986. Φαίνονται μὲν ἐνίοτε, ἀλλ᾽ ἀφανίζονται ȣ̓ γοητείᾳ, ἀλλ᾽ ἀληθῶς.

987. Οἱ κακοδαίμονες ἀμφιπολευόμενοι φάσματα λέγονται· μεσονυκτίȣ θορυβȣ̃ντες [33]), φάσματα νυκτερινὰ, ἐφέςιοι δαίμονες ἀλάςορες καλȣ̃νται [34]).

978. Οἱ μάγοι, νεκρομαντικοὶ τοῖς κακοδαίμοσι συζυγέντες [35]), ταῖς ἐπῳδαῖς ἑαυτȣ̀ς τε καὶ ἄλλȣς φρεναπατῶσι καὶ καταπαίζȣσιν.

989. Οὐαὶ δὲ τῷ διαβόλῳ καὶ κοινωνοῖς αὐτȣ̃, τῆς κοινωνίας ταύτης μὴ ἀποταξαμένοις [36])· εἰς γέενναν ἀποβληθήσονται [37]).

990. Ἐκδικητὴς γὰρ τῆς ἑαυτȣ̃ δόξης ὁ Κύριος ἔςαι [38]).

C. Κολοφών. (κορωνίς.)

991. Ἄγε δὴ, ὦ ἑταῖρε, τί λοιπόν; ἔξεςω [39]) μοι τȣ̃το ἀνεπιφθόνως εἰπεῖν [40]), ἃ πρȣ̈θέμην [41]) κατ᾽ ἀρχὴν, ἅπαντα διεπέρηνα [42]).

992. Εἰ ȣ̓́τως ἔχει; καλῶς εὖγε τῆς ἀκριβείας καὶ φιλοπονίας. Διὰ ταύτης ȣ̓̃ν τῆς θύρας εἰσελθὼν [43]), τῶν ἐπισημῶν καὶ τῆς γλώττης Ἑλληνικῆς τὸ παλάντιον (ἀνάκτορον) προσεχῶς (προσεκτικῶς) θεῶ [44])· προχείρως τε καὶ ἀμυχηδὸν ἐνθαδὶ τȣ̃το θεωρήσας, περισσότερον ἐν λογογράφοις αὐθεντικοῖς τε καὶ δεδοκιμασμένοις [45]) ἐποφθάλμει, καὶ σκέψιν πᾶσαν ποίει.

993. Ἔχεις ἐνθάδε σύνοψίν τινα, συντόμως καὶ βραχέως ἐν περιόδοις τισὶ συλλαμβάνȣσαν τὰ προπαιδεύματα τῆς θεολογίας τε καὶ φιλοσοφίας, ἃ ἐξηγηταὶ πλατέως καὶ διεξοδικῶς παραφράζοντες ἐν ἐξηγήσεσι διασαφηνίσȣσιν· ȣ̓δὲν σπȣδῆς ἄξιον ὑπολελεῖφθαι [46]) ἡγȣ̃μαι.

994. Τέλος ἐπίδομα ἐπιμετρῶν, παρακαλῶ σε, πάντα πρὸς εὐσέβειαν τρέπειν, ὅπως χριςιανὸς ὀρθόδοξος πολὺ τῶν ψευδοχριςιανῶν (ψευδωνύμως ȣ̓́τω λεγομένων) διαφέρων, γένοιο [47]). Χριςὸς τῶν πράξεών σȣ καὶ ἐνθυμήσεων γνώμων ἔςω.

33) θορυβέω. 34) καλέω. 35) συζευγνύω. 36) ἀποτάσσω. 37) ἀποβάλλω. 38) εἰμί. 39) ἔξεςι. 40) ἔπω. 41) προτίθημι. 42) διαπεραίνω. 43) εἰσέρχομαι. 44) θεῶμαι. 45) δοκιμάζω. 46) ὑπολείπω. 47) γίνομαι.

Digitized by Google

995. Γνῶθι[48]) τοῦτο, ἡμᾶς ἐν βραχεῖ λόγον τῷ δικαστῇ ἐλευσομένῳ[49]), καὶ ἡμᾶς ἐγερόντι[50]) ἀποδώσειν[51])· τότε τὰ κρυπτὰ φανερωθήσεται.

996. Εὐδαίμονες οἱ ἵλαον αὐτὸν ἕξουσιν[52])· ἀγαλλομένως αὐτῷ συγχαιρήσουσιν[53]), οὐκ ἀμβροσίας οὐδὲ νέκταρος, ὡς ἀσεβῶς οἱ ποιηταὶ μυθολογοῦσιν, ἀλλὰ σωτηρίας αὐτοῦ χάριτος, καὶ ἀϊδίου ἡδονῆς ἀξιομακάριστοι ἀπολαύσουσιν.

997. Ὁ ἐλεήμων Θεὸς ποιείτω[54]), ἐλέου τυγχάνοντας ἡμᾶς δικαιωθῆναι, καὶ ἐν ἀγάπῃ, τῷ ἀληθινῷ τῶν πιστευόντων δεσμῷ, ἑνωθῆναι.

998. Σὺ αὐτῷ ἐξομολόγησιν ποιῶν, ἐκθύμως προσεύχου[55]), ἕως εἰς τὸ τῆς ἀϊδίου μονῆς ἐνδόμυχον διαδύνωμεν, καὶ ἤδη νῦν τοῖς ἄνωθεν ἐναριθμηθῶμεν[56]).

999. Ἔῤῥωσο[57]).

1000. Τῇ ἁγιωτάτῃ καὶ ἀδιαιρέτῳ τριάδι τιμὴ καὶ ἔπαινος εἰς αἰῶνας ἅπαντας. Ἀμήν.

48) γινώσκω. 49) ἔρχομαι. 50) ἐγείρω. 51) ἀποδίδωμι. 52) ἔχω. 53) συγχαίρω. 54) ποιέω. 55) προσεύχομαι. 56) ἐναριθμέω. 57) ῥώννυμι.

INDEX VOCABULORUM.

A.

Ἄβαξ 562 abacus.
Ἄβατος 460 invius, aditu vel acceſſu difficilis, 477 ἄβατα avia.
Ἀβέβαιος 887 inſtabilis.
Ἀβέλτερος 356 ſtupidus, 725 fatuus, ſtolidus.
Ἀβίαστος 787 ſine violentia, ἀβιαστότατος minime violentus.
Ἀβλαβὴς 914 innocuus.
Ἀβλέπτημα 797 delictum, peccatum.
Ἄβολλα 520 bardocucullus, pallii genus e panno craſſiore, cucullum adjectum habens, ac nautis et aurigis uſitatum.
Ἀβυλέω 360 nolo.
Ἄβυλος 356 incogitans, inconſultus.
Ἀβρὸς 189 amoenus.
Ἀβρῶς 150 opipare.
Ἄβυθος 70 vorago.
Ἄβυσσος 9 abyſſus, vorago.
Ἀγαθὶς 499 glomus..
Ἀγαθὸς 299 bonus.
Ἀγάλλομαι 366 gaudeo, geſtio, exſulto.
Ἀγαλλομένως 996 exſultim, exſultando.
Ἄγαλμα 771 ſtatua, imago.
Ἄγαν 612 nimis, ὁ ἄγαν nimius.
Ἀγανακτέω 892 indignor, conqueror, moleſte fero.
Ἀγαπάω 600 amo, diligo.
Ἀγάπη 997 caritas, amor.
Ἀγάρικον 137 agaricum, fungus laricis, herba, Germ. *Lerchenſchwamm.*
Ἀγγαρεία 683 miniſterium, operae praeſtandae.
Ἀγγέλλω 693 denuncio.
Ἄγγελος 978 angelus.
Ἀγγοθήκη 552 capſa.
Ἄγε 13 agedum, eja.
Ἀγέλη 409 armentum, grex.
Ἀγεληδὸν 152 gregatim, 706 catervatim.
Ἀγένειος 251 imberbis.
Ἀγέρατον 137 ageratum, herba, G. *Leberbalſamkraut.*
Ἄγευστος 789 jejunus.
Ἄγημα 708 ala exercitus.
Ἁγιόγραφα 631 ſancta ſcripta.
Ἅγιος 651 ſanctus.
Ἀγκαλὶς 529 faſcis ſarmentorum.
Ἄγκιστρον 427 hamus.
Ἄγκος 78 vallis.
Ἀγκτὴρ 515 fibula, 527 anſa ferrea.
Ἀγκύλη 712 amentnm, lorum haſtae aut jaculo obvinctum, quo jacitur.
Ἄγκυλος 148 curvus, aduncus
Ἀγκυρίζω 948 ſupplanto.
Ἀγκυρόω 466 ancora firmo.
Ἀγκὼν 260 cubitus.
Ἀγλαΐζομαι 532 ſplendeo.
Ἄγλωσσος 839 elinguis.
Ἁγνεία 825 caſtitas.
Ἁγνεύω 825. purus ſum ab aliqua re.
Ἁγνίζομαι 641 luſtro me.
Ἀγνοέω 235 ignoro, 871 ἀγνοῶν inſcius,
Ἄγνοια 357 ignorantia, inſcitia.
Ἁγνὸς 589 caſtus.

Ἀγνωμόνως 846 ſtulte.
Ἄγνωστος 374 ignotus.
Ἄγνωτος 779 ignotus, ὐκ ἄγνωτον haud ignoratur.
Ἀγορὰ 491 mercatus.
Ἀγοράζω 431 emo.
Ἀγοράσματα 482 venalia.
Ἀγορεύω 648 dico, loquor, αἴσχιστα ἀγορεύω turpiſſime alicui maledico ſ. convicior aliquem.
Ἄγος 797 ſcelus.
Ἀγράμματος 724 illitteratus.
Ἀγραυλέω 686 ruſticor, οἱ ἀγραυλῦντες ruſtici.
Ἀγρεῖφνα 418 furca, raſtellum.
Ἀγριάμπελος 326 labruſca, vitis ſilveſtris.
Ἄγριος 111 ſilveſtris, 201 ferus.
Ἀγριοσύνη 196 ferocitas.
Ἀγριότης 239 feritas.
Ἀγριῦμαι 177 efferor, efferus fio.
Ἀγροδίαιτος 686 ruſticus.
Ἀγροικία 842 ruſticitas.
Ἄγροικος 756 ruſticus, 845 agreſtis, 917 difficilis, moroſus.
Ἀγρονόμος 386 villicus.
Ἀγρὸς 520 ager.
Ἀγρυπνέω 627 vigilo.
Ἀγρυπνία 356 vigilia, inſomnia.
Ἀγυιὰ 616. vicus, platea utrinque contiguas aedes habens.
Ἀγύρτης 492 circulator.
Ἀγχίνοια 17 ſagacitas, 748 ſollertia, dexteritas.
Ἀγχίνυς 354 ſagax, ingenioſus, ſollers, 750 argutus.
Ἀγχίσπορος 601 propinquus, qui eſt ex eadem progenie.
Ἀγχιςεὺς 593 cognatus.
Ἀγχῦ 556 prope, juxtim.
Ἄγχω 301 ſuffoco.
Ἄγω 423 agito 887 ago, 965 perduco.
Ἀγωγὴ 724 inſtitutio.
Ἀγωνία 369 timor, ſolicitudo, angor.
Ἀγωνίζομαι 650 cauſſam dico, 948 certo.
Ἀγωνιςήριον 948 locus certaminis, palaeſtra.
Ἀδάμας 89 adamas, gemma.
Ἄδηλος 955 incertus.
Ἅδης 980 infernus, orcus, εἰς ᾅδυ ſcil. τόπον in orcum.
Ἀδηφάγος 820 guloſus, helluo, epulo.
Ἀδιαίρετος 1000 indiviſus.
Ἀδίαντον 137 adiantum, herba, G. *Mauerraute*.
Ἀδιαφανὴς 42 denſus, non translucens.
Ἀδιάφορος 636 medius, indifferens, ἀδιάφορα ſc. χρήματα res mediae.
Ἀδικέω 513 injuriam facio, 565 injuria afficio, injurius ſum in aliquem.
Ἀδίκημα 891 injuria.
Ἀδίκως 546 iniuſte, per injuriam, injuria.
Ἀδίςακτος 807 indubitatus, certus.
Ἀδολεσχέω 831 blatero, garrio.
Ἀδολέσχης 680 nugator.
Ἀδόλως 918 ſincere, candide.
Ἀδυναμία 300 impotentia.
Ἀδύναμος 694 imbellis, viribus defectus.
Ἀδυνατέω 894 non valeo.
Ἀδύνατος 805 qui fieri vel effici non poteſt.

Ἄδυτον 643 adytum, locus arcanus in templis.
Ἄϊδω 224 canto.
Ἀδωρότατος 661 plane incorruptus. χρημάτων pecunia.
Ἀεὶ 48 ſemper.
Ἄελλα 466 procella, turbo.
Ἀετίτης ſc. λίθος 90 aëtites, lapis.
Ἀετὸς 43 aquila.
Ἀείζωον 137 ſedum, ſempervivum, herba, G. *Hauswurz.*
Ἀειφυγία 672 perpetuum exſilium, ἀειφυγίαν φεύγω exſulo, in exſilio vivo.
Ἄζυμος 406 azymus, fermento carens.
Ἀηθὴς 973 inſolitus.
Ἀὴρ 25 aër.
Ἀθάρα 402 puls, pulmentum.
Ἀθέμιστος 783 capitalis, injuſtus, nefarius.
Ἄθεος 969 impius, ſacrilegus.
Ἀθεότης 640 impietas.
Ἀθερώδης 127 ariſtatus.
Ἀθὴρ 127 ariſta, ſpicae pars praeacuta.
Ἄθικτος 589 intactus, illibatus, intemeratus.
Ἀθλητὴς 945 pugil, luctator.
Ἄθλιος 912 miſer.
Ἀθλιότης 889 miſeria.
Ἀθλίως 309 miſere.
Ἀθλοθέτης 949 athlotheta, brabeuta, qui praemia certantibus proponit.
Ἄθριξ 205 depilis, glaber.
Ἀθυμέω 369 timeo, metu angor, 885 animum deſpondeo, animum abjicio.
Ἀθυμία 245 animi dejectio. anxietas.
Ἀθυρόγλωσσος 538 garrulus, loquax, lingua effrenis.
Ἀθυροστομέω 838 nugor, petulanter loquor.
Ἀθώωσις 866 apocha, ſcheda, qua creditor teſtatur ſibi ſatisfactum a debitore.
Αἴγειος 426 caprinus.
Αἴγειρος 112 populus, arbor, G. *Pappelbaum.*
Αἰγίθαλος 156 parus, avis.
Αἰγίλωψ 129 aegilops, herba, quae hordeum enecat.
Αἰγοθήλης 149 caprimulgus, avis, G. *Nachtrabe.*
Αἰγόκερως 37 capricornus, animal et ſignum coeleſte.
Αἰγώλιος 149 caprimulgus, avis.
Αἰδημόνως 830 verecunde.
Ἀΐδιος 996 perpetuus, aeternus.
Ἀϊδιότης 937 aeternitas.
Αἰδοῖα 255 pudenda, verenda.
Αἰδοῦμαι 880 veneror, revereor.
Αἰδὼ 37 pudor.
Αἰθάλη 47 fuligo.
Αἰθίοψ 334 Aethiops.
Αἴθουσα 616 porticus.
Αἰθριοκοιτέω 483 ſub dio cubo.
Αἴθριος 64 ſerenus, ſudus, clarus.
Αἰκισμὸς 331 plauſus qui fit manu.
Αἷμα 270 ſanguis.
Αἱμασιὰ 380 ſeptum.
Αἱματία 421 apexabo, farcimen factum ex ſanguine, admiſta arvina.
Αἱματίτης 90 haematites, lapis.
Αἱμυλία 842 ſermonis feſtivitas, lepos.

Digitized by Google

Αἱμύλλω 612 blandior alicui.
Αἵμυλος 831 blandus.
Αἰνέω 577 laudo, probo.
Αἴνιγμα 941 aenigma.
Αἴξ 185 capra.
Αἵρεσις 640 haereſis, falſa in rebus ſacris doctrina, 805 optio, electio.
Αἱρέτης 673 elector.
Αἱρετικὸς 640 haereticus.
Αἱρέω 148 capio, 673 eligo.
Αἴρω 321 tollo, attollo.
Αἰσάλων 148 aeſalo, accipitris ſpecies.
Αἰσθάνομαι 340 ſentio.
Αἴσθησις 142 ſenſus.
Αἶσχος 288 turpitudo.
Αἰσχρὸς 86 turpis, 648 αἴσχιστος 648 turpiſſimus, αἴσχιστα ἀγορεύω turpiſſime maledico alicui.
Αἰσχρουργέω 870 turpiter ago.
Αἰσχύνομαι 798 pudet me rei, 926 erubeſco, vereor.
Αἰτέω 567 peto.
Αἰτία 50 cauſſa, 659 culpa, ὁ ἐν αἰτίᾳ ὢν et 659 ὁ αἰτίαν ἔχων reus.
Αἰτιῶμαι 659 culpo, inculpo, accuſo, incuſo.
Αἰφνίδιος 883 repentinus.
Αἰφνιδίως 968 repente.
Αἰὼν 1000 ſeculum.
Αἰώρησις 941 oſcillatio, luſus genus, quo pueri religatis altrinſecus de tigno arboreve reſtis librantur, G. *Schaukeln*.
Ἀκαδημία 737 academia, locus, ubi omnes diſciplinae docentur.
Ἀκαθαρσία 799 impuritas.
Ἀκάθαρτος 633 impurus.
Ἀκαίρως 874 importune.
Ἀκάκως 918 pure, ſimpliciter.
Ἄκαμπτος 514 non flexus.
Ἄκανθα 135 ſpina.
Ἀκανθίζω 206 aculeos habeo.
Ἄκανθος 137 acanthus, herba, G *Baerenklau*.
Ἀκανθὼν 135 ſpinetum.
Ἀκαρὲς 61 momentum, 314 ἀκαρὲς τοῦ χρόνου punctum temporis.
Ἄκαρπος 112 ſterilis, infructuoſus.
Ἀκάτιον 471 acatium, velum maximum in navi.
Ἀκεραιότης 918 ſimplicitas, integritas.
Ἀκερδῶς 490 ſine lucro, cum damno.
Ἀκέστης 504 ſartor.
Ἀκηδία 888 pigritia, ſocordia.
Ἀκίβδηλος 919 fidus, ſincerus.
Ἀκιβδήλως 925 ſincere, pure.
Ἀκινδύνως 446 tuto, ἀκινδύνως ἔχω tutus ſum.
Ἀκίνητος 942 incitus, immobilis, πεσσῶν ἀκινήτων ὄντων quum calces ſunt incitae, ſ quum quis ad incitas redactus eſt in luſu calculorum.
Ἀκιπένσερ 766 acipenſer, piſcis, G. *Stoer*.
Ἀκλὶς 713 aclis, tragula, teli genus, quod amento longe jaci poteſt, ut peracto vulnere poſſit revocari.
Ἀκμάζω 105 vigeo, vegetus ſum.
Ἀκμὴ 294 morbi vigor et ſtatus, quando ſummam habet vehementiam, 351 vigor.
Ἄκμων 531 incus.
Ἀκοὴ 330 auditus.

Digitized by Google

Ἀκολασία 826 laſcivia, libidinis incontinentia.
Ἀκόλαστος 943 laſcivus.
Ἀκόμπως 793 citra ambitionem, τὸ ἀκόμπως vocabulum praefiſcine ſ. citra arrogantiam.
Ἀκόνη 85 cos.
Ἀκόνιτον 135 aconitum, herba, G. *Wolfswurz.*
Ἀκόντιον 712 jaculum, telum.
Ἀκουσίως 6 praeter voluntatem, non libenter.
Ἀκουστὸς 341 qui audiri poteſt, auditus.
Ἀκούω 659 audio, 820 vocor, dicor.
Ἀκρασία 826 incontinentia, intemperantia.
Ἀκρατὴς 503 evanidus, fugax, 893 impotens.
Ἀκρατίζομαι 568 jento.
Ἀκρατοποτέω 564 propino.
Ἀκρίβεια 992 diligentia.
Ἀκριβόω 837 diligenter exploro.
Ἀκριβῶς 400 diligenter, accurate.
Ἀκρὶς 222 locuſta.
Ἀκροατὴς 751 auditor.
Ἀκρόδρυον 122 bacca.
Ἀκρομανὴς 804 inſanus.
Ἄκρον 107 cacumen.
Ἀκρόπολις 717 arx.
Ἀκρόσπελος 129 avena.
Ἀκροβυστία 281 praeputium, pellicula glandem virilis membri contegens.
Ἀκροχορδὼν 285 verruca.
Ἀκρωτήριον 74 promontorium.
Ἀκτὴ 138 ſambucus, frutex, G. *Holunder.*
Ἀκτὶν 769 radius.
Ἄκτινος 941 ſambuceus.
Ἀκυρόω 563 abrogo, irritum facio.
Ἀκωλύτως 969 nemine prohibente.
Ἄκων 871 nolens, invitus.
Ἀλαβαστρίτης 87 alabaſtrites, lapis.
Ἀλάβαστρον 795 vas ex alabaſtro.
Ἀλάλη 331 planctus.
Ἀλάστωρ 917 ſceleſtus, nebulo, 987 ἀλάστορες lares, penates.
Ἀλγέω 296 doleo.
Ἄλγημα 306 dolor.
Ἀλγύνομαι 367 doleo, moereo.
Ἄλειμμα 526 pigmentum, 795 unguentum.
Ἀλειτούργητος 620 immunis a cenſu et oneribus publicis.
Ἀλείφω 959 ungo.
Ἀλεκτόρειος ſc. λίθος 90 alectorius lapis.
Ἀλεκτορὶς 160 gallina.
Ἀλεκτρύων 150 gallus.
Ἀλέκτωρ 159 gallus.
Ἀλεξιφάρμακος 137 contra venenum utilis.
Ἄλευρον 404 farina.
Ἀλευροποιέω 405 farinam molo.
Ἀλήθεια 913 veritas.
Ἀληθὴς 239 verus.
Ἀληθινὸς 357 verus.
Ἀληθῶς 956 vere.
Ἀλήκτως 41 indeſinenter, 976 ſine intermiſſione.
Ἁλιεὺς 427 piſcator.
Ἁλιευτικὴ 427 piſcatio.
Ἁλικάκαβος 137 halicacabus, herba, G. *Judenkirſchen, Boberellen.*
Ἅλις 699 ſatis.
Ἁλίσκω 204 capio.
Ἀλιτέω 797 pecco, delinquo.

Digitized by Google

'Αλκὴ 193 alce, animal ferum, G. *Elendthier*.
'Αλκυόνια 146 halcyonia, halcedonia, dies ſereni et tranquilli, quibus halcedo foetus enititur.
'Αλκύων 146 halcyon, halcedo, G. *Eisvogel*.
'Αλλὰ 100 ſed.
'Αλλαγὴ 722 permutatio.
'Αλλᾶς 421 farcimen.
'Αλλάττω 411 muto.
'Αλλαχόθεν 490 aliunde.
'Αλλαχόθι 473 alibi.
'Αλλαχῦ 77 alibi.
'Αλλήλοις 628 ſibi, alter alteris, alius alii, 939 inter ſe, ἀλλήλους 657 inter ſe, alter alterum, alius alium, πρὸς ἀλλήλους inter ſe.
'Αλλῃποι 78 alibi, aliis in locis.
'Αλλογενὴς 930 peregrinus.
'Αλλοδαπὸς 489 extraneus, peregrinus, ἐξ ἀλλοδαπῆς ſcil. χώρας e terra peregrina.
'Αλλόκοτος 973 inuſitatus.
"Αλλος 25 alius, 657 ὐδὲν ἄλλο ἢ non niſi.
"Αλλοσε 175 alio, 677 ἄλλοσέ ποι aliorſum.
'Αλλοτριοπραγμονέω 837 aliena negotia curo.
'Αλλότριος 372 alienus.
'Αλλοτριοφθονέω 540 alienis bonis invideo.
"Αλλως 41 aliter, ἄλλως γε 927 caeteroqui, ἄλλως τε 187 alioqui.
"Αλμα 195 ſaltus.
"Αλμη 73 ſalſilago, muria.
'Αλμυρὸς 73 ſalſus.
"Αλμων 168 ſalmo, piſcis, G. *Lachs*.
'Αλοάω 398 trituro.
'Αλοδοχεῖον 553 ſalinum.
'Αλοεὺς 398 tritor frumenti.
'Αλόη 137 aloë.
'Αλυργὶς 675 veſtis purpurea.
'Αλπικὸς 209 Alpinus.
"Αλς 104 ſal.
"Αλσος 113 viretum, nemus.
'Αλυσίδετος 186 catenatus.
'Αλυσίδωτος 699 ex hamis conſertus.
"Αλυσις 458 catena.
'Αλφιτεῖον 402 piſtrinum.
"Αλφιτον 404 farina, 405 τὰ πρὸς ἄλφιτα emolumentum.
'Αλωὰ 379 arboretum, 398 area.
'Αλωπεκία 203 defluvium pilorum.
'Αλώπηξ 203 vulpes.
"Αλως 64 halo, circulus lucidus circa ſolem aut lunam.
"Αμαλλα 396 manipulus.
"Αμαξα 397 plauſtrum.
'Αμαξυργὸς 533 carpentarius.
'Αμάρακος 137 amaracum, herba, G. *Majoran*.
'Αμάραντος 133 amarantus, flos, G. *Tauſendſchön*.
'Αμαρτάνω 796 pecco.
'Αμαρτία 634 peccatum, 667 delictum.
'Αμάρτυρος 738 a teſtibus remotus, ſolitarius.
'Αμαυρόω 374 obfuſco, obſcuro.
'Αμβλύνω 350 hebeto.
'Αμβλὺς 85 obtuſus, 325 hebes, exſurdatus.
'Αμβλυωπέω 153 caecutio.
'Αμβολιεργὸς 886 cunctator.
'Αμβροσία 996 ambroſia, cibus deorum.
"Αμβων 583 crepido, qua puteus circumdatur.
'Αμείβω 500 alterno, ἀμείβο-

μαι 891 rependo, repono, par pari refero.
'Αμείλιχος 832 moroſus, difficilis.
"Αμεινον 806 melius, ſatius.
'Αμέλγω 415 emulgeo.
'Αμελέω 747 negligo.
'Αμεταβλήτως τῆς γνώμης ἔχω 799 neutiquam patior me a conſilio deduci ſ. avocari.
